MASTER NEGATIVE
NO. 93-81435-3

AUTHOR:

DIONYSIUS HALICARNASSENSIS

TITLE:

DIONYSII HALICARNASSENSIS ...

PLACE:

GRONINGAE

DATE:

1861

Master Negative #

93-81435-3

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Epistolae criticae tres. 1861.

Dionysius Halicarnassensis.
Dionysii Halicarnassensis Epistolae criticae tres, quarum duae ad Ammaeum, una ad Cn. Pompeium; e codd. maxime Italicis a se primo excussis emendatiores et integriores edidit Henricus van Herwerden ... Groningae, apud heredes C. M. van Bolhuis Hoitsema, 1861.
vii, 62 p. 24 cm.

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 5-20-93 INITIALS Susan
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

BIBLIOGRAPHIC IRREGULARITIES

MAIN
ENTRY: Dionysios Halicarnessensis

Bibliographic Irregularities in the Original Document
List volumes and pages affected; include name of institution if filming borrowed text.

_____Page(s) missing/not available:_____

_____Volumes(s) missing/not available:_____

_____Illegible and/or damaged page(s):_____

_____Page(s) or volumes(s) misnumbered:_____

_____Bound out of sequence:_____

_____Page(s) or illustration(s) filmed from copy borrowed from: Bryn Mawr
1-14

_____Other:_____

Dionysius Halicarnassensis.

Epistolae criticae tres.

DIONYSII HALICARNASSENSIS

EPISTOLAE CRITICAE TRES,

QUARUM DUAE AD AMMAEUM,

UNA AD Cn. POMPEIUM.

E CODD. MAXIME ITALICIS A SE PRIMO EXCUSSIS EMENDATIORES
ET INTEGRIORES EDIDIT.

Henricus van Herwerden,

Phil. Theor. Mag., Litt. Hum. Doct., scholae Groninganae Praeceptor.

GRONINGAE,
Apud Heredes C. M. van BOLHUIS HOITSEMA.

1861.

DIONYSII HALICARNASSENSIS

EPISTOLAE CRITICAE TRES.

Dionysius, of Halicarnassus.

DIONYSII HALICARNASSENSIS

EPISTOLAE CRITICAE TRES,

QUARUM DUAE AD AMMAEUM, UNA AD Cn. POMPEIUM.

E CODD. MAXIME ITALICIS A SE PRIMO EXCUSSIS EMENDATIORES ET INTEGRIORES EDIDIT

HENRICUS VAN HERWERDEN,

Phil. Theor. Mag., Litt. Hum. Doct., scholae Groninganae Praeceptor.

GRONINGAE,

Apud Heredes C. M. van BOLHUIS HOITSEMA.

MDCCCLXI.

PRAEFATIO.

Hae tres epistolae critici Halicarnassensis aliquanto, ut mihi quidem persuadeo, emendatiores, quam vulgo eruditorum manibus teruntur, ita prodeunt seorsim, ut, sicubi intellexero datam a me in iis corrigendis operam non prorsus displicuisse viris doctis, reliquas Dionysii scriptiones Rhetoricas tum codicum ope, quos in Italia plurimos contuli, tum aliena et aliquando mea quoque sagacitate fretus quam potero diligentissime ad pristinam, quantum licuerit, sanitatem revocare revocatasque publici iuris facere pergam.

Subsidia autem, quae textui harum epistolarum constituendo ego primus adhibui, haec sunt:

Amb. *codex est Ambrosianus* D. 119 *sup. chartaceus in folio, bene scriptus. In folio pergameno, quod codici praefixum est, leguntur haec:* 1482 16 Novēbri Vēn. est Georgii Merulae Alēx., *et paulo inferius:* Hic liber ē schole Dnī Hier. Calchi. *Ineunte tamen seculo* XV *exaratum esse hunc librum suspicor.*

Insunt hae scriptiones:

1. Διονυσίου ʽΑλικαρνασέως (*sic*) περὶ τῶν ἀρχαίων ῥητόρων; *nempe iudicia de Lysia, Isocrate et Isaeo.*
2. *Epistola ad Pompeium.*
3. ῎Ετι περὶ Θουκυδίδου πλατύτερον *i. e. iudicium de Thucyd. hist.*
4. Περὶ τῆς Δημοσθένους λέξεως.
5. Διονύσιος ᾽Αμμαίῳ τῷ φιλτάτῳ πλεῖστα χαίρειν (1 *epist. ad Amm.*)
6. Σύνοψις τῆς ῥητορικῆς.

Μέλημα καὶ φρόντισμα καὶ γλυκὺς πόνος | οἰκτροῦ πιναροῦ ᾽Ιώσηφ

Ῥακονδύτου. *Cuius initium:* ἀπροοιμιάστως ἐπὶ τὴν τῶν προοιμίων καὶ λόγων μητέρα ἐρχόμεθα.

Dionysii scripta 146, *Racondyti ineptiae* 43 *folia continent, quae singula habent* 30 *vs.*

Codex, ut inter malos, optimus et diligentissime scriptus.

A. *Est cod. Laurentianus Plut.* LVIII, 22, *formae* 8° *maioris chartaceus, turpi sed distincta manu exaratus sec.* XV, *sine titulo. Continet solam scriptiunculam de proprietatibus Thucydideis.*

B. *Item Laurentianus Plut.* LX, 16, *form.* 8°. *Scriptus in charta sec.* XV. *Inest idem libellus (a fol.* 24—31 *codicis) hocce titulo insignis:* Διονυσίου Ἀλικαρνασέως (*sic*) περὶ τῶν Θουκυδίδου ἰδιωμάτων. Διονύσιος Ἀμμαίῳ τῷ φιλτάτῳ χαίρειν.

C. *Ex eadem bibliotheca Florentina* LX, 18 *codex nitidissimus, membranaceus, elegantissimo scribendi et pingendi artificio insignis. Forma est* 8° *min. Continet duo opuscula Dionysii:*

1. Διονυσίου Ἀλικαρνασέως (*sic*) περὶ τῶν Θουκυδίδου ἰδιωμάτων. Διονύσιος Ἀμμαίῳ τῷ φιλτάτῳ χαίρειν (*fol.* 157—163).

2. τοῦ αὐτοῦ Διονυσίου Ἀλικαρνασέως περὶ συνθέσεως ὀνομάτων ἐπιτομή. *Seculo* XV *non antiquior.*

L. *Laurentianus Plut.* LIX, 11 *chartaceus forma* 8° *mai., pulchre scriptus seculo* XV. *Habet folia* 300.

Insunt autem haec Dionysii scripta:

1. Περὶ τῶν Θουκυδίδου ἰδιωμάτων (*fol.* 49—55).

2. *Eiusdem* περὶ συνθέσεως ὀνομάτων (*fol.* 55—89).

Praeterea insunt scripta Demetrii Phalerei, Apsini et Menandri.

In fine codicis rubro adscripta leguntur haec:

ἐτελειώθη τὸ παρὸν (βιβλίον, *relicto spatio, om.*) διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Νικοδήμου μοναχοῦ διὰ συδρομης (*sic*) καὶ ἐξόδου τοῦ εὐγενεστάτου Τρουλίου Ῥωμάνου (*sic*) κτέ.

P. *Codex est Palatino—Vaticanus* 58, *chart. sec.* XV. *Continet:* 1°. *de Thucyd. hist. iudicium;* 2° *de admiranda vi dicendi Demosthenis cum titulo falso:* Θουκυδίδου ἔκφρασις τῆς στάσεως τῶν Κερκυραίων; 3° *de antiquis oratoribus;* 4° *ad Cn. Pompeium de praecipuis historicis.*

R. *Denique est codex eiusdem aetatis, qui asservatur in bibliotheca Riccardiana quae dicitur Florentiae.*

De ceteris codd., quos ego primus adhibui, monebo in praefatione ad reliqua Dionysii opera Rhetorica. Sunt autem inter Dionysii codd. Italianos quidam ita pessimi, ut prorsus nullam eorum vel rationem habere vel mentionem facere mecum constituerim. Unde nolim aliquis concludat, optimos esse, quos adhibui. Quin imo contra est, sed in auctore, ita misere habito, qualis noster est, libri vel valde mediocres, deficientibus bonis, non contemnendos esse facile quivis mihi concedet. Librorum autem pravitate factum, ut in lectione constituenda longe saepius quam vellem ad coniecturas res rediret.

Reliquum est monere, me et propter brevem ambitum et propter formae similitudinem haec opuscula elegisse, quae uno fasciculo comprehensa prima Graece eruditis offerrem.

Scribebam Groningae Kalendis Septembribus anni MDCCCLXI.

INDEX.

ΔΙΟΝΥΣΙΟΥ

ΤΟΥ

ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΜΑΙΟΝ Η ΠΡΟΤΕΡΑ (1)

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ
ΠΛΕΙΣΤΑ ΧΑΙΡΕΙΝ.

Πολλῶν μετ' ἄλλων ξένων τε καὶ παραδόξων ἀκουσμάτων, ὧν ἐνήνοχεν ὁ καθ' ἡμᾶς χρόνος, ἕν τι καὶ τοῦτ' ἐφάνη μοι πρώτως (2) ἀκούσαντι παρά σου· ὅτι τῶν φιλοσόφων τις τῶν ἐκ τοῦ Περιπάτου, πάντα χαρίζεσθαι βουλόμενος Ἀριστοτέλει, τῷ κτίσαντι ταύτην τὴν φιλοσοφίαν (3), καὶ τοῦθ' ὑπέσχετο ποιήσειν φανερόν, ὅτι Δημοσθένης τὰς ῥητορικὰς τέχνας παρ' ἐκείνου μαθὼν εἰς τοὺς ἰδίους μετήνεγκε λόγους, καὶ κατ' (4) ἐκείνου κοσμούμενος τὰ παραγγέλματα, πάντων ἐγένετο τῶν ῥητόρων κράτιστος. Κατ' ἀρχὰς μὲν οὖν ὑπελάμβανον, τῶν πολλῶν ἕνα (5) εἶναι τὸν ταῦτ' ἐπιχειρήσαντα λέγειν, καὶ

(1) Vulgo πρώτη; sed, quia duae tantum epistolae ad Ammaeum exstant, ἡ προτέρα scribere malui. Ceterum titulus abest a libris Mscr. et ab interpretibus est additus. Mox μὲν ἄλλων affertur e mg. cod. Reg.

(2) Fortasse πρῶτον. Cf. tamen LOBECK, *ad Phrynichum*, p. 311.

(3) Suspecta habeo vocabula: τῷ — φιλοσοφίαν.

(4) μετ' Amb. P. Mox e Wolfii margine recepi κατ' ἐκείνου pro codicum lectione κατ' ἐκεῖνα.

(5) Codd. τινα, quod correxi. *Unum de multis* esse putabam.

παρῄνουν σοι μὴ πᾶσι τοῖς παραδόξοις προσέχειν· ὡς δὲ καὶ τοὔνομα τἀνδρὸς (1) ἐπυθόμην, ὃν ἐγὼ καὶ τοῦ ἤθους ἕνεκα καὶ τῶν λοιπῶν ἀποδέχομαι, ἐθαύμασα, καὶ πολὺς ἐν ἐμαυτῷ γενόμενος, ἐπιμελεστέρας ᾤμην δεῖσθαι σκέψεως τὸ πρᾶγμα, μή ποτε λέληθέ με τἀληθὲς οὕτως ἔχον, καὶ οὐδὲν εἰκῇ τἀνδρὶ εἴρηται, ἵν' ἢ τὴν δόξαν, ἣν πρότερον αὐτὸς εἶχον, μεταθείην, μαθὼν ὅτι προτεροῦσι τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἢ τὸν οὕτως (2) ἐγνωκότα καὶ γράψαι γε παρεσκευασμένον, πρὶν εἰς ὄχλον ἐκδοῦναι τὸ σύνταγμα, μεταβαλεῖν πείσαιμι τὴν δόξαν.

CAPUT II.

Οὐκ ἐλαχίστην δέ μοι καὶ σὺ παρέσχου ῥοπὴν εἰς τὸ μὴ παρέργως ἐξετάσαι τὴν ἀλήθειαν, παρακαλῶν φανεροὺς ποιῆσαι τοὺς λόγους, οἷς ἐμαυτὸν πέπεικα Δημοσθένους ἀκμάζοντος ἤδη, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τόθ' ὑπ' Ἀριστοτέλους τὰς ῥητορικὰς γεγράφθαι τέχνας. Ἐδόκεις δέ (3) μοι καὶ τοῦτ' ὀρθῶς παραινεῖν, μὴ σημείοις, μηδ' εἰκόσι (4), μηδ' ἀλλοτρίαις τὸ πρᾶγμα πιστώσασθαι μαρτυρίαις, ἐπειδὴ τούτων οὐδεμία τῶν πίστεων δι' ἀναγκαίων συνάγεται λημμάτων· ἀλλ' αὐτὸν Ἀριστοτέλη παρασχέσθαι διὰ τῶν ἰδίων τεχνῶν ὁμολογοῦντα τἀληθὲς οὕτως ἔχειν. Τοῦτο δὴ πεποίηκα, βέλτιστ' Ἀμμαῖε, τῆς τ' ἀληθείας προνοούμενος, ἣν ἐπὶ παντὸς οἴομαι δεῖν πράγματος ἐξετάζεσθαι, καὶ τῆς ἁπάντων τῶν περὶ τοὺς πολιτικοὺς λόγους ἐσπουδακότων χάριτος, ἵνα μὴ τοῦθ' ὑπολάβωσιν, ὅτι πάντα περιείληφεν ἡ περιπατητικὴ φιλοσοφία τὰ ῥητορικὰ παραγγέλματα· καὶ οὔθ' οἱ περὶ Θεόδωρον καὶ Θρασύμαχον καὶ Ἀντιφῶντα σπουδῆς ἄξιον οὐδὲν εὗρον, οὔτ' Ἰσοκράτης καὶ Ἀναξιμένης καὶ Ἀλκιδάμας, οὔθ' οἱ τούτοις συμβιώσαντες τοῖς ἀνδράσι, παραγγελμάτων τεχνι-

(1) Codd. τοῦ ἀνδρός, et mox τῷ ἀνδρί. Pro τῶν ἠθῶν dedi τοῦ ἤθους e Reiskii coniectura.

(2) In hac lectione conspirant cod. Reg. et Amb. P., nisi quod pro βεβαιωθῶ μαθὼν rescripsi μεταθείην μαθών. Nam haud dubie interpolata est vulgata lectio, quam receperunt editores e marg. Demosthenis Morelli: ἵν' ἢ μαθών, ὅτι προτεροῦσιν τῶν Δημοσθένους λόγων αἱ Ἀριστοτέλους τέχναι, ἑκὼν μεταδοξάσω, ἢ τοὐναντίον φωράσας τὴν δόξαν, ἣν πρότερον αὐτὸς ἔσχον, βεβαιωθῶ, καὶ τὸν ἄλλως ἐγνωκότα κτέ. Pro ἔσχον de meo rescripsi εἶχον.

(3) Vulgo τέ, quod meo Marte correxi.

(4) An εἰκασίαις?

κῶν συγγραφεῖς καὶ ἀγωνισταὶ λόγων ῥητορικῶν, οἱ περὶ Θεοδέκτην καὶ Φίλισκον (1) καὶ Ἰσαῖον καὶ Κηφισόδωρον, Ὑπερείδην (2) τε καὶ Λυκοῦργον καὶ Αἰσχίνην· οὔτ' αὐτὸς ὁ Δημοσθένης ὁ πάντας ὑπερβαλόμενος τούς τε πρὸ αὐτοῦ καὶ τοὺς καθ' ἑαυτόν, καὶ μηδὲ τοῖς γενησομένοις (3) ὑπερβολὴν καταλιπών, τοσοῦτος ἂν (4) ἐγένετο τοῖς Ἰσοκράτους τε καὶ Ἰσαίου κοσμούμενος παραγγέλμασιν, εἰ μὴ τὰς Ἀριστοτέλους τέχνας ἐξέμαθεν.

CAPUT III.

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος (5), ὦ φίλ' Ἀμμαῖε, οὐδ' ἐκ τῶν Ἀριστοτέλους τεχνῶν τῶν ὕστερον ἐξενεχθεισῶν οἱ Δημοσθένους λόγοι συνετάχθησαν, ἀλλὰ καθ' ἑτέρας τινὰς εἰσαγωγάς (6)· ὑπὲρ ὧν ἐν ἰδίᾳ δηλώσω γραφῇ τὰ δοκοῦντά μοι (πολὺς γὰρ ὁ περὶ αὐτῶν λόγος, ὃν οὐ καλῶς εἶχεν ἑτέρας γραφῆς ποιῆσαι πάρεργον) (7) ἐν δὲ τῷ παρόντι τοῦτο πειράσομαι φανερὸν ποιῆσαι, ὅτι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ τοὺς ἐπιφανεστάτους εἰρηκότος ἀγῶνας, τούς τε δικανικοὺς καὶ τοὺς δημηγορικούς, καὶ θαυμαζομένου διὰ πάσης τῆς Ἑλλάδος ἐπὶ δεινότητι λόγων, τόθ' ὁ φιλόσοφος τὰς ῥητορικὰς ἔγραψε τέχνας. Ἀνάγκη δ' ἴσως πρότερον (8), ὅσα παρέλαβον ἐκ τῶν κοινῶν ἱστοριῶν, ἃς κατέλιπον ἡμῖν οἱ τοὺς βίους τῶν ἀνδρῶν συνταξάμενοι, προειπεῖν. ποιήσομαι δ' ἀπὸ Δημοσθένους τὴν ἀρχήν.

CAPUT IV.

Οὗτος ἐγεννήθη μὲν ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς Ὀλυμπιάδος, ἐπ' (9) ἄρχοντος δὲ Τιμοκράτους εἰς ἔτος ἦν ἐμβεβη-

(1) Codd. male Φίλιστον. Vulgata debetur Sylburgio.

(2) Vulgo Ὑπερίδην. Codd. Amb. P. habent veram lectionem.

(3) γινομένοις Amb.

(4) Om. ἂν in Codd. Addidere Morellius et Wolfius.

(5) Impense miror neminem dum, quod sciam, animadvertisse Dionysium h. l. non illepide suum facere principium *palinodiae in Helenam* STESICHORI (PLATON. Phaedr. p. 243 B.): Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος, οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις οὐδ' ἵκεο Πέργαμα Τροίας.

(6) Ita Amb.; vulgo ordine minus idoneo: εἰσαγωγάς τινας.

(7) Vocabula: πολὺς—πάρεργον. posui in parenthesi.

(8) Reposui πρότερον pro πρῶτον.

(9) De meo addidi necessariam praepositionem ἐπί. Paulo ante malim (ἐνὶ) ἐνιαυτῷ.

κῶς ἑπτακαιδέκατον· δημοσίους δὲ λόγους ἤρξατο γράφειν ἐπὶ
Καλλιστράτου ἄρχοντος εἰκοστὸν καὶ ἕβδομον ἔχων ἔτος (1).
κἄστιν αὐτοῦ πρῶτος τῶν εἰς δικαστήρια κατασκευασθέντων
ἀγώνων ὁ κατ' Ἀνδροτίωνος, ὃν γέγραφε (2) Διοδώρῳ, τῷ
κρίνοντι τὸ ψήφισμα παρανόμων. καὶ κατὰ τὸν αὐτὸν χρόνον
ἕτερος [ἐπὶ Καλλιστράτου ἄρχοντος] (3) ὁ περὶ τῶν ἀτελειῶν,
ὃν αὐτὸς διέθετο, χαριέστατος ἁπάντων τῶν (4) λόγων, καὶ
γραφικώτατος. ἐπὶ δὲ Διοτίμου, τοῦ μετὰ Καλλίστρατον, ἐν
Ἀθηναίοις | πρώτην εἶπε δημηγορίαν, ἣν ἐπιγράφουσιν οἱ τοὺς
ῥητορικοὺς πίνακας συντάξαντες περὶ τῶν συμμοριῶν· ἐν
ᾗ παρακαλεῖ τοὺς Ἀθηναίους μὴ λύειν τὴν πρὸς βασιλέα γε-
νομένην εἰρήνην, μηδὲ προτέρους ἄρχειν τοῦ πολέμου, ἐὰν μὴ
παρασκευάσωνται τὴν ναυτικὴν δύναμιν, ἐν ᾗ πλείστην εἶχον
ἰσχὺν, καὶ τὸν τρόπον τῆς παρασκευῆς αὐτὸς (5) ὑποτίθεται.
ἐπὶ δὲ Θουδήμου (6), τοῦ μετὰ Διότιμον ἄρξαντος, τόν τε
κατὰ Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ, τῷ κρίνοντι παρα-
νόμων τὸν Τιμοκράτην, καὶ τὸν περὶ τῆς Μεγαλοπολιτῶν
βοηθείας δημηγορικόν, ὃν αὐτὸς ἀπήγγειλεν. Μετὰ δὲ Θού-
δημόν (7) ἐστιν Ἀριστόδημος ἄρχων, ἐφ' οὗ τῶν κατὰ Φιλίππου
δημηγοριῶν ἤρξατο, καὶ λόγον (8) ἐν τῷ δήμῳ διέθετο περὶ τῆς
ἀποστολῆς ξενικοῦ στρατεύματος καὶ τῶν δέκα ταχειῶν (9) τριη-
ρῶν εἰς Μακεδονίαν. Ἐν τούτῳ τῷ χρόνῳ καὶ τὸν κατ'

(1) ἔτο; ἔχων Amb. Dedi autem *εἰκοστὸν καὶ ἕβδομον* pro vulgatis *εἰκοστὸν καὶ πέμπτον*; qua de re monuere iam alii. Pro *ἐν δικαστηρίῳ* mox reposui, quod sententia flagitat. Cf. VII in fine.

(2) *ἔγραφε* Amb.; unde fortasse rescribendum *ἔγραψε*.

(3) Uncis sepsi interpretamentum manifestum vocabulorum: *κατὰ τὸν αὐτὸν χρόνον*.

(4) Articulum omittit Amb. cum cod. Reg., nec fortasse iniuria; ut in genere loquatur Dionysius, non de unius Demosthenis orationibus. Mox pro *παρεκάλει* de coniectura rescripsi *παρακαλεῖ*.

(5) Malim quidem *αὐτοῖς*, sed *αὐτὸς* ferri posse videtur, ut sensus sit, non aliis Demosthenem apparatus rationem indicandam reliquisse.

(6) Ita recte Amb. P. et Reg.; vulgo *Εὐδήμου*, quod male a Reiskio receptum pro Theodemo. Cf. nostrum Din. p. 648. Böckh, *Corp. Inscr. Gr.* N. 230. 13; cl. *Urkunden über das Seewesen des Attischen Staates*, p. 340. Mox Amb. habet *Τιμοκράτη* pro *Τιμοκράτην*.

(7) Vulgo *Εὔδημον*; deinde cum Ambr. *ἐστιν* dedi pro *ἦν*, ut noster solet. Exempla vide complura in cap. X.

(8) Sic Amb.; vulgo *λόγους*. Intelligitur oratio prima contra Philippum.

(9) Cod. P., ut vulgo scribitur, *Γαδικῶν*. Amb. *φυγαδικῶν*. Veram lectionem reposui e Demosth. IV, p. 22 ed. Bekk. Postea demum legi Sylburgii notam, unde apparet Morellii marginem habere *ταχειῶν*, alios coniecisse id, quod Amb. habet, *φυγαδικῶν*. Reiskius expunxit, natum putans e vocabulo medii aevi *γαλειῶν*.

Ἀριστοκράτους ἔγραψε λόγον Εὐθυκλεῖ, τῷ διώκοντι παρανό-
μων τὸ ψήφισμα. Ἐπὶ δὲ Θεσσάλου (1), τοῦ μετ' Ἀριστόδημον, τὴν
περὶ Ῥοδίων ἀπήγγειλε δημηγορίαν, ἐν ᾗ πείθει τοὺς Ἀθη-
ναίους καταλῦσαι τὴν ὀλιγαρχίαν αὐτῶν καὶ τὸν δῆμον ἐλευθε-
ρῶσαι. Ἐπὶ δὲ Καλλιμάχου, τοῦ τρίτου μετὰ Θέσσαλον (2)
ἄρξαντος, τρεῖς διέθετο δημηγορίας (3) παρακαλῶν Ἀθηναίους
βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι, τοῖς πολεμουμένοις ὑπὸ Φιλίπ-
που· πρώτην μὲν, ἧς (4) ἐστιν ἀρχή· »Ἐπὶ πολλῶν μὲν
ἰδεῖν ἄν τις (5), ὦνδρες Ἀθηναῖοι, δοκεῖ μοι·" (6) δευ-
τέραν δὲ »Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν,
ὦνδρες Ἀθηναῖοι·" τρίτην δέ· »Ἀντὶ πολλῶν ἂν,
ὦνδρες Ἀθηναῖοι, χρημάτων·" Κατὰ τοῦτον γέγραπται
τὸν ἄρχοντα καὶ ὁ κατὰ Μειδίου λόγος, ὃν συνετάξατο
μετὰ τὴν καταχειροτονίαν (7), ἣν ὁ δῆμος αὐτοῦ κατεχειροτό-
νησεν. Μέχρι τοῦ περὶ (8) δώδεκα λόγων, ὧν εἴρηκα δημο-
σίων (ἐν οἷς εἰσι δημηγορικοὶ μὲν ζ', δικανικοὶ δὲ ε') ἅπαντες
πρότεροι (9) τῶν Ἀριστοτέλους τεχνῶν, ὡς ἔκ τε τῶν ἱστορου-
μένων περὶ τἀνδρὸς ἀποδείξω κἀκ τῶν ὑπ' αὐτοῦ γραφέντων,
ἐντεῦθεν ἀρξάμενος.

CAPUT V.

Ἀριστοτέλης υἱὸς μὲν ἦν Νικομάχου, τό τε (10) γένος καὶ τὴν
τέχνην ἀναφέροντος εἰς Μαχάονα τὸν Ἀσκληπιοῦ· μητρὸς δὲ
Φαιστίδος, ἀπογονοῦ τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀγα-
γόντων (11) εἰς Στάγειρα. Ἐγεννήθη δὲ κατὰ τὴν ἐνενηκοστὴν

(1) Correxit Reiskius. Codd. habent *Θεέλλου*, quae corruptela facile explicatur per scripturam uncialem, quae dicitur. ΘΕΚΚΑΛΟΥ primum abiit in ΘΕΚΑΛΟΥ, deinde in ΘΕΕΛΛΟΥ. Similiter apud nostrum Din. p. 655 ex eodem nomine natum est ΘΕΛΛΟΝ.

(2) *Θέελλον* Codd.

(3) Vulgo *δημηγορικοὺς*, quod correxi ob sequentia.

(4) Sic Amb. P.; vulgo *πρῶτον—οὗ*, et mox *δεύτερον—τρίτον*.

(5) Demosthenes: *ἄν τις ἰδεῖν*.

(6) *μοι δοκεῖ*. Amb. P.

(7) Sic e Morellii et Wolfii margine reposui pro vulgato *χειροτονίαν*.

(8) Fortasse: *μέχρι τοίνυν τῶν κτέ.* Cod. Reg. *κεχειροτόνηκε. μέχρι τοῦ τῶν.* Hinc Reiskius: *κατεχειροτόνησεν ἔτει τρίτῳ. Τούτων τῶν κτέ.*

(9) Malim *προτεροῦσιν*.

(10) Addidi particulam *τε* de coniectura. Paulo ante pro *υἱὸς* exspectaram *πατρός*.

(11) Sic Amb. et P.; vulgo *ἀναγαγόντων*, quod dittographiae debet originem.

καὶ ἐνάτην (1) Ὀλυμπιάδα, ἐπὶ Διοτρεφοῦς Ἀθήνησιν (2) ἄρχοντος, τρισὶν (3) ἔτεσι Δημοσθένους πρεσβύτερος ὤν. Ἐπὶ δὲ Πολυζήλου ἄρχοντος, τελευτήσαντος τοῦ πατρὸς, ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε, καὶ συσταθεὶς Πλάτωνι χρόνον εἰκοσετῆ (4) διέτριψε σὺν αὐτῷ. Ἀποθανόντος δὲ Πλάτωνος, ἐπὶ Θεοφίλου ἄρχοντος, ἀπῆρε (5) πρὸς Ἑρμείαν, τὸν Ἀταρνέως τύραννον, καὶ τριετῆ χρόνον παρ' αὐτῷ (6) διατρίψας, ἐπ' Εὐβούλου ἄρχοντος εἰς Μυτιλήνην ἐχωρίσθη· ἐκεῖθεν δὲ πρὸς Φίλιππον ᾤχετο (7) κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκτετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου. Μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας, ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ (8), μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, ἐπὶ Κηφισοδώρου ἄρχοντος ἀπάρας εἰς Χαλκίδα νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.

CAPUT VI.

Ταῦτα μὲν οὖν ἔστιν, ἃ παραδεδώκασιν ἡμῖν οἱ τὸν βίον τἀνδρὸς ἀναγράψαντες. ἃ δ' αὐτὸς ὁ φιλόσοφος ὑπὲρ ἑαυτοῦ γράφει πᾶσαν ἀφαιρούμενος ἐπιχείρησιν τῶν χαρίζεσθαι βουλομένων αὐτῷ τὰ μὴ προσήκοντα (πρὸς πολλοῖς ἄλλοις, ὧν οὐδὲν δέομαι μνησθῆναι (9) κατὰ τὸ παρὸν, ἃ τέθεικεν ἐν τῇ πρώτῃ βίβλῳ ταύτης τῆς πραγματείας)· ὡς οὐ μειράκιον ἦν, ὅτε τὰς ῥητορικὰς συνετάττετο τέχνας, ἀλλ' ἐν τῇ κρατίστῃ

---

(1) Ita recte Amb.; vulgo *ἐννενηκοστὴν καὶ ἐννάτην*.

(2) Vulgo *Ἀθήνῃσιν*. Praep. *ἐπὶ* de meo inserui ante *Διοτρεφοῦς*.

(3) Vulgo *ιγ'*. Veram lectionem habent Amb. et Reg. Mox *πρεσβύτερος ὢν* de coniectura dedi pro *πρεσβυτέρου*; et sic iam Wolfius, omisso tamen *ὤν*.

(4) Vulgo *εἰκοσαετῆ*.

(5) Vulgo *ἀπῆρε*.

(6) Vulgo *αὐτοῦ*. Correxi ex Amb. Deinde *διατρίψας* dedi e Wolfii margine pro *τρίψας*, et *Μυτιλήνην* restitui pro prava forma *Μιτυλήνην*.

(7) Optime sic Amb. exhibuit mihi pro *ἤρχετο*. In P. est *ἔχετο* (sic), candemque lectionem e codice, nescio quo, memorat Reisk., ubi additum sit in marg. *ἴσ. ᾤχετο*.

(8) Copulam addidi post numerum, ne quis male iungat *τρισκαιδεκάτῳ* cum *μετὰ κτέ.* Dicit enim Aristotelem vita defunctum esse mortuo iam Alexandro, anno decimo tertio posteaquam diem obiisset Philippus. Nam defunctus est Alexander Cephisodoro archonte.

(9) Requirente sententia, rescripsi *μνησθῆναι* *mentionem facere* pro *μεμνῆσθαι* *meminisse*. In fine huius sententiae de coniectura reposui: *τεκμήριόν ἐστιν ἔτ' ἰσχυρότερον* pro vulgatis: *τεκμηρίων ἐστὶν ἰσχυρότερα*.

γεγονὼς ἀκμῇ, καὶ προυκδεδωκὼς ἤδη τάς τε τοπικὰς συντάξεις καὶ τὰς ἀναλυτικὰς καὶ τὰς μεθοδικάς, τεκμήριόν ἐστιν ἔτ' ἰσχυρότερον. Ἀρξάμενος γὰρ τὰς ὠφελείας ἐπιδεικνύειν, ἃς περιείληφεν ὁ ῥητορικὸς λόγος, ταῦτα κατὰ λέξιν γράφει· »Χρήσιμος δ' ἐστὶν ἡ ῥητορικὴ διά γε (1) τὸ φύσει εἶναι κρείττω τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων· ὥστ' ἐὰν μὲν (2) κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται, ἀνάγκη δι' αὐτῶν ἡττᾶσθαι· τοῦτο δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς ἐνίους, οὐδ' εἰ τὴν ἀκριβεστάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας· διδασκαλία γάρ ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος, τοῦτο δ' ἀδύνατον· ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς τοπικοῖς (3) ἐλέγομεν (5) περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως."

CAPUT VII.

Περὶ δὲ (5) παραδειγμάτων προελόμενος λέγειν, ὅτι τὴν αὐτὴν ταῦτ' (6) ἔχοι δύναμιν ταῖς ἐπαγωγαῖς καὶ τοῖς συλλογισμοῖς, ταῦτα περὶ τῆς ἀναλυτικῆς καὶ τῆς (7) μεθοδικῆς πραγματείας τίθησι· »Τῶν δὲ διὰ τοῦ δείκνυσθαι ἢ (8) φαίνεσθαι δείκνυσθαι, καθάπερ κἀν τοῖς ἀναλυτικοῖς τὸ μὲν ἐπαγωγή ἐστι, τὸ δὲ συλλογισμὸς, τὸ δὲ φαινόμενος συλλογισμὸς (9), κἀνταῦθ' ὁμοίως

---

(1) Aristot. Rhet. 1. cap. 1: *τε* minus recte.

(2) Ita Amb. et editiones Stephani atque Morellii pro *μὴ*, quod legitur ap. Aristot. Locum non satis intelligo. *Μὴ* ommittit cod. A'. apud Bekkerum. Fortasse legendum: *ὥστ', ἐὰν μὲν κατὰ τὸ προσῆκον αἱ κρίσεις γίγνωνται· ἐὰν δὲ μὴ, ἀνάγκη αὐτῶν ἡττᾶσθαι* (nempe *τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων*). Notissima apud Graecos ellipsis, quam restitui, incredibile dictu est quam saepe a librariis non intelligentibus vel expleta sit vel obliterata.

(3) *ἐν τοῖς πολιτικοῖς* Amb.; et sic Stephani, Morellii Wolfiique editiones.

(4) *λέγομεν* Amb.

(5) Vulgo *τε*, perperam.

(6) *ταῦτ'* abesse malim.

(7) De meo addidi articulum.

(8) Vocabula *δείκνυσθαι ἢ* om. Amb. Arist. I. 2 (Bekk.): *δεικνύναι ἢ φαίνεσθαι δεικνύναι*, haud dubie rectius. Mox pro *ἀναλυτικοῖς* habet *διαλεκτικοῖς*.

(9) Quatuor ultima vocabula, suppleta ab editoribus ex Aristotele, absunt a Ms. omnibus. Mox *ἔχει* addidi ex eodem, cui voculae exitio fuerat sequens *ἐστι*. Abest quoque ab uno codice A'. ap. Bekk.

ἔχει. ἔστι γὰρ τὸ μὲν παράδειγμα ἐπαγωγή· τὸ δ' ἐνθύμημα συλλογισμός· [τὸ δὲ φαινόμενον φαινόμενος συλλογισμός] (1)· καλῶ γὰρ ἐνθύμημα μὲν ῥητορικὸν συλλογισμόν, παράδειγμα δ' ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι| ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα· καὶ παρὰ ταῦτ' οὐδέν πως. ὥστ', εἴπερ καὶ ὅλως ἀνάγκη συλλογιζόμενον ἢ ἐπάγοντα (2) δεικνύναι ὁτιοῦν ἢ ὁντινοῦν| (3) (δῆλον δ' ἡμῖν τοῦτ' ἐκ τῶν ἀναλυτικῶν), ἀναγκαῖον ἑκάτερον αὐτῶν ἑκατέρῳ τούτων ταὐτὸ εἶναι. Τίς δ' ἐστὶ διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ τῶν τοπικῶν· ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον· ὅτι τὸ μὲν ἐπὶ πολλῶν (4) καὶ ὁμοίων δείκνυσθαι, ὅτι οὕτως ἔχει, ἐκεῖ μὲν ἐπαγωγή (5) ἐστιν, ἐνταῦθα δὲ παράδειγμα· τὸ δὲ, τινῶν ὄντων, ἕτερόν τι διὰ ταῦτα συμβαίνειν, παρὰ τὸ ταῦτ' εἶναι (6) ἢ καθόλου, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἐκεῖ μὲν συλλογισμὸς, ἐνταῦθα δ' ἐνθύμημα καλεῖται. Φανερὸν δὲ καὶ, ὅτι (7) ἑκάτερον ἔχει ἀγαθὸν τὸ (8) εἶδος τῆς ῥητορικῆς· (9) καθάπερ γὰρ (10) κἀν τοῖς μεθοδικοῖς εἴρηται, κἀν τούτοις ὁμοίως ἔχει." Ὁ μὲν οὖν Ἀριστοτέλης ὑπὲρ ἑαυτοῦ γέγραφε μαρτυρόμενος διαρρήδην, ὅτι τὰς ῥητορικὰς τέχνας συνετάξατο πρεσβύτερος ὢν ἤδη καὶ τὰς κρατίστας συντάξεις προεκδεδωκώς. Ταῦτ' ἔστιν, ἐξ ὧν, ὃ προειλόμην (11) ποιῆσαι φανερόν, ὅτι προτεροῦσιν οἱ τοῦ ῥήτορος ἀγῶνες τῶν τοῦ φιλοσόφου τεχνῶν| ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· εἴ γ' ὁ μὲν εἰκοστὸν καὶ ἕβδομον ἔτος ἔχων

---

(1) Vocabula τὸ—συλλογισμὸς ab Aristotelis exemplaribus absunt. Mox legitur ap. ARIST.: καλῶ δ' ἐνθύμημα κτέ.

(2) Vocabula δεικνύναι—ἢ ἐπάγοντα om. Amb. P.

(3) 2 ultima vocabula codd. non agnoscunt. Idem mox valet de vocabulis αὐτῶν ἑκατέρῳ. Utraque suppleta ex Aristotele edito.

(4) ἐκ πολλῶν Morellii margo *Sylburg.*

(5) εἰσαγωγή Amb. P.

(6) Aristot. exemplaria habent: παρὰ ταῦτα τῷ ταῦτα εἶναι. *Sylb.*

(7) ARISTOT. ὅτι καὶ inverso ordine. *Reisk.*

(8) Articulum, quem addidere vv. dd. ex Aristotele, agnoscit Amb.

(9) Vulgo ῥητορείας, quod correxi ex Aristotele.

(10) γὰρ accessit ex Aristotele.

(11) ὃ, quod agnoscunt mei codd. Amb. et P., primus addidit Reiskius ex Reg. scriptura: ὁ προειλόμενος.

ἤρξατο πολιτεύεσθαι καὶ δημηγορεῖν καὶ λόγους εἰς δικαστήρια γράφειν, ὁ δὲ κατὰ τοὺς αὐτοὺς χρόνους ἔτι συνῆν Πλάτωνι, καὶ διέτριψεν (1) ἕως ἐτῶν ἑπτὰ καὶ τριάκοντα οὔτε σχολῆς ἡγούμενος οὔτ' ἰδίαν πεποιηκὼς αἵρεσιν.

CAPUT VIII.

Εἰ δέ τις οὕτως ἔσται δύσερις, ὥστε καὶ πρὸς ταῦτ' ἀντιλέγειν, ὅτι μὲν ὕστερον ἐγράφησαν αἱ ῥητορικαὶ τέχναι τῶν ἀναλυτικῶν τε καὶ μεθοδικῶν καὶ τοπικῶν, ὁμολογῶν ἀληθὲς εἶναι, οὐδὲν δὲ κωλύειν λέγων, ἁπάσας ταύτας κατεσκευακέναι (2) τὸν φιλόσοφον τὰς πραγματείας ἔτι παιδευόμενον παρὰ τῷ Πλάτωνι, ψυχρὰν μὲν κἀπίθανον ἐπιχείρησιν εἰσάγων, βιαζόμενος δὲ τὸ πανουργότατον (3) τῶν ἐπιχειρημάτων ποιεῖν πιθανώτατον, ὅτι καὶ τὸ μὴ εἰκὸς γίγνεταί ποτε (4)· ἀφεὶς, ἃ πρὸς ταῦτα λέγειν εἶχον, ἐπὶ τὰς αὐτοῦ τρέψομαι τοῦ φιλοσόφου μαρτυρίας, ἃς ἐν τῇ τρίτῃ βίβλῳ (5) τέθεικε τῶν τεχνῶν (6), περὶ τῆς μεταφορᾶς κατὰ λέξιν οὕτω γράφων· »Τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν εὐδοκιμοῦσι μάλισθ' αἱ κατ' ἀναλογίαν· ὡς Περικλῆς ἔφη τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοὐνιαυτοῦ ἐξέλοι· καὶ Λεπτίνης περὶ Λακεδαιμονίων οὐκ ἐᾶν περιιδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον γενομένην· (7) καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος (8) εὐθύνας δοῦναι τῶν (9) περὶ τὸν Ὀλυνθιακὸν πόλεμον, ἠγανάκτει

---

(1) Fortasse inserendum παρ' αὐτῷ. Cf. cap. V.

(2) ταύτας κατεσκεύασται (sic) κατεσκευακέναι P, unde suspicor variam lectionem olim exstitisse κατεσκευάσθαι.

(3) Recepi hanc egregiam lectionem vel potius coniecturam e margine et Morellii et Wolfii, pro scriptura codicum κακουργότατον.

(4) Absurde vulgo post ποτε repetitur εἰκός. Ego omisi. Sensus: *quod etiam id, quod non fuerat verisimile, interdum locum habet.*

(5) βύβλῳ. P.

(6) τῶν τεχνῶν τέθεικε Amb. P.

(7) καὶ—γενομένην om Amb. P.

(8) Om. Χάρητος P.

(9) Sic corrigo ex Amb. Vulgo τοῦ adiectum ab editoribus. Reliqui codd. articulum negligunt.

φάσκων, αὐτὸν (1) εἰς πνῖγμα τὸν δῆμον ἀγαγόντα, τὰς (2) εὐθύνας πειρᾶσθαι ἀποδιδόναι οὕτως."

CAPUT IX.

Εἰ μὲν δὴ σαφῶς αὐτὸς ὁ φιλόσοφος ἀποδεικνύει μετὰ τὸν Ὀλυνθιακὸν πόλεμον γεγραμμένας ὑφ' αὐτοῦ (3) τὰς τέχνας, οὗτος (4) δ' ἐπὶ Καλλιμάχου γέγονεν ἄρχοντος, ὡς δηλοῖ Φιλόχορος ἐν ἕκτῃ βίβλῳ τῆς Ἀτθίδος, κατὰ λέξιν οὕτω γράφων »Καλλίμαχος Περγασῆθεν. Ἐπὶ τούτου Ὀλυνθίοις, πολεμουμένοις ὑπὸ Φιλίππου, καὶ πρέσβεις Ἀθήναζε πέμψασιν, Ἀθηναῖοι συμμαχίαν τ' ἐποιήσαντο .... (5) καὶ βοήθειαν ἔπεμψαν πελταστὰς μὲν (6) δισχιλίους, τριήρεις δὲ τριάκοντα τὰς μετὰ Χάρητος, καὶ ἃς (7) συνεπλήρωσαν ὀκτώ. (8) Ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα τίθησι ταυτί· »Περὶ δὲ τὸν αὐτὸν χρόνον, Χαλκιδέων τῶν ἐπὶ Θρᾴκης θλιβομένων τῷ πολέμῳ καὶ πρεσβευσαμένων Ἀθήναζε, Χαρίδημον αὐτοῖς ἔπεμψαν οἱ Ἀθηναῖοι τὸν ἐν Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππέας δὲ πεντήκοντα καὶ ἑκατὸν, ἦλθεν εἴς τε Παλλήνην καὶ Βοττιαίαν (9) μετ' Ὀλυνθίων, καὶ τὴν χώραν ἐπόρθησεν." Ἐπειθ' ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτί· »Πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις ἀποστειλάντων εἰς τὰς Ἀθήνας, καὶ

(1) Pronomen addidi ex Amb. Non legitur in Aristotelis exemplaribus.

(2) Hinc corrigatur Aristot., *Rhetor.* III, 10 ed. Reisk, ubi absque sensu editur: ἔχοντα τὰς εὐθύνας κτἑ. Ibidem repone: τὰς εὐθύνας πειρᾶσθαι ἀποδοῦναι. Quod additur a fine apud nostrum οὕτως, non habent Aristotelis editiones, nec tamen propterea deleverim.

(3) Vulgo ὑπ' αὐτοῦ, quod correxi

(4) Wolfius τοῦτο minus recte *Sylb.*

(5) In Amb. lacuna 18 fere literarum, quam punctis significavi. Fortasse excidit, quod in hac formula sollemne est, καὶ φιλίαν.

(6) Particula μὲν abest a codd. Addidit Wolfius.

(7) Ita Amb. Vulgo ἃς καί.

(8) ὀκτώ in solo Amb. exstat; a reliquis abest. Pro συνεπλήρωσαν fortasse legendum συνεπεπληρώκεσαν.

(9) Vulgo additur articulus ad posterius nomen proprium, quem omittendum esse duxi, quia prius eo caret. Fieri tamen potest, ut scribendum sit: εἴς τε τὴν Παλλήνην καὶ τὴν Βοττιαίαν.

δεομένων μὴ περιιδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ πρὸς ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν, μὴ ξενικὴν, ἀλλ' αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ δῆμος τριήρεις μεν ἑτέρας ἑπτακαίδεκα, τῶν δὲ πολιτῶν ὁπλίτας δισχιλίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ στόλου παντός."

Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων, τὰς Ἀριστοτέλους ἐζηλωκέναι τέχνας τὸν Δημοσθένη, ὃς ἤδη τέτταρας μὲν ἔτυχεν εἰρηκὼς δημηγορίας Φιλιππικὰς, τρεῖς δ' Ἑλληνικάς· περὶ δὲ πέντε λόγους δημοσίους εἰς (1) δικαστήρια γεγραφὼς, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν ὡς εὐτελεῖς τινας καὶ φαύλους καὶ μηδὲν ἐπιφαίνοντας τεχνικὸν, ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν στήσομαι, ἀλλὰ καὶ τοὺς ἄλλους αὐτοῦ λόγους μάλιστ' εὐδοκιμοῦντας ἐπιδείξω, τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς, πρότερον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων τῶν τεχνῶν, μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. Μετὰ γὰρ ἄρχοντα Καλλίμαχον, ἐφ' οὗ τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους, Θεόφιλός ἐστιν ἄρχων, καθ' ὃν ἐκράτησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος, ἔπειτα Θεμιστοκλῆς, ἐφ' οὗ τὴν πέμπτην (2) τῶν κατὰ Φιλίππου δημηγοριῶν ἀπήγγειλε Δημοσθένης, περὶ τῆς φυλακῆς τῶν νησιωτῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστιν ἀρχή· »Ἃ μὲν ἡμεῖς, ὦνδρες Ἀθηναῖοι, δεδυνήμεθ' εὑρεῖν, ταῦτ' ἔστι" — Μετὰ δὲ Θεμιστοκλέα Ἀρχίας, ἐφ' οὗ παραινεῖ τοῖς Ἀθηναίοις μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν, μηδ' ἀφορμὴν διδόναι πολέμου, νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην, ἀρχὴ δὲ (3) ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε·

(1) Notabili modo in Amb. haec corrupta sunt: περὶ δὲ λόγους δηλώσει οἷς εἰς. Legitur tamen sana lectio in margine. Pro γεγραφώς Morellii et Wolfii marginem habere γέγραφεν ait Sylburgius, *sed ne sic quidem plana fieri omnia.* Haud dubie verum est γεγραφώς, quod iungatur cum praegresso ἔτυχεν, nec ullam video huic scripturae inesse difficultatem. Opponuntur autem inter se participia εἰρηκώς et γεγραφώς. Mox verba ἐπειδὴ πρὸ τῶν Ἀριστοτέλους συνετάχθησαν τεχνῶν interpretamenti speciem prae se ferunt.

(2) Ita rescripsi ex Amb. pro vulgato ἕκτην. Veram lectionem exstare quoque in Wolfii et Morellii margine, itaque legendum monuisse Schottum Sylburgius memorat.

(3) καί pro δέ habent codd. Correxit Sylburgius.

»Ὁρῶ μὲν, ὦνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγμα-
τα". Μετὰ δ' Ἀρχίαν ἐστὶν Εὔβουλος, εἶτα Λύκισκος, ἐφ' οὗ
τὴν ἑβδόμην τῶν Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ
Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος·
»Ὅταν, ὦνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται." Μετὰ
Λυκίσκον ἐστὶν ἄρχων Πυθόδοτος, ἐφ' οὗ τὴν ὀγδόην τῶν
Φιλιππικῶν δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις,
ἧς ἐστιν ἀρχή· »Ὦνδρες Ἀθηναῖοι, οὐκ ἔστιν, ὅπως
αἱ (1) αἰτίαι." Καὶ τὸν κατ' Αἰσχίνου συνετάξατο λόγον, ὅτε
τὰς εὐθύνας ἐδίδου τῆς δευτέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους.
Μετὰ Πυθόδοτόν ἐστιν Σωσιγένης, ἐφ' οὗ τὴν ἐνάτην διελή-
λυθε κατὰ Φιλίππου δημηγορίαν περὶ τῶν ἐν Χερρονήσῳ στρα-
τιωτῶν, ἵνα μὴ διαλυθῇ τὸ μετὰ Διοπείθους ξενικὸν, ἀρχὴν
ἔχουσαν (2) ταύτην· »Ἔδει μὲν, ὦνδρες Ἀθηναῖοι, τοὺς
λέγοντας ἅπαντας." (3). Καὶ κατὰ τὸν αὐτὸν ἄρχοντα τὴν
δεκάτην, ἐν ᾗ πειρᾶται διδάσκειν, ὅτι λύει τὴν εἰρήνην Φίλιπ-
πος, καὶ πρότερος ἐκφέρει τὸν πόλεμον, ἧς ἐστιν ἀρχή· »Πολ-
λῶν, ὦνδρες Ἀθηναῖοι, λόγων γιγνομένων." Μετὰ
Σωσιγένην ἄρχων ἐστὶ Νικόμαχος, ἐφ' οὗ τὴν ἑνδεκάτην δημη-
γορίαν διελήλυθε περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον, καὶ
τοὺς Ἀθηναίοις πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν, ἧς ἐστιν
ἀρχή· »καὶ σπουδαῖα νομίζων, ὦνδρες Ἀθηναῖοι."
Ἐπὶ Νικομάχῳ Θεόφραστος ἄρχων, ἐφ' οὗ πείθει τοὺς Ἀθη-
ναίους γενναίως ὑπομεῖναι τὸν πόλεμον, ὡς κατηγγελκότος
αὐτὸν (4) ἤδη Φιλίππου, κἄστιν αὕτη τελευταία τῶν κατὰ
Φιλίππου δημηγοριῶν, ἀρχὴν ἔχουσα ταύτην· »Ὅτι μὲν,
ὦνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν

(1) ὅσαι pro ὅπως αἱ Amb.

(2) Sic Amb.; vulgo ἔχουσα.

(3) Non plura Amb. Vulgo additur: ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα, μήτε πρὸς χάριν, quae verba non dubito, quin ex ipso Demosthene postmodo suppleta sint. Sufficiunt enim illa pauca ad orationem indicandam, nec praecedentium principia fusius noster laudat. Rem conficit absentia verbi in sequentibus, ubi cogitando supplendum e praegressis διέθετο, quae res, pluribus interpositis, orationem redderet obscuriorem. Similiter mox cum eodem codice omisi vocabula: ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν post vocab.: λόγων γιγνομένων (sic recte Amb. pro γινομένων); deinde in XImae orationis principio verba: περὶ ὧν βουλεύεσθε καὶ ἀναγκαῖα τῇ πόλει πειράσομαι περὶ αὐτῶν εἰπεῖν; denique, eodem libro auctore, in principio XIImae: πᾶσιν ὑμῖν φανερὸν γέγονε. Supplevit ea omnia sciolus ad periodos scilicet absolvendas.

(4) Morellii et Wolfii margo habet αὐτόν. Pessime.

εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλε-
μον (1).

CAPUT XI.

Ὅτι δὲ δώδεκα τούτους ἅπαντας τοὺς λόγους, οὓς κατηρίθ-
μημαι, πρὸ τῆς ἐκδόσεως τῶν Ἀριστοτέλους τεχνῶν ἀπήγγει-
λεν ὁ Δημοσθένης, αὐτὸν Ἀριστοτέλη παρέξομαι μαρτυροῦντα.
Ἀρξάμενος γὰρ ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν τεχνῶν τοὺς τό-
πους ὁρίζειν, ἀφ' ὧν τἀνθυμήματα φέρεται, καὶ τὸν ἐκ τοῦ
χρόνου παραλαμβάνει (2), παρατιθεὶς αὐτῷ τὰ παραδείγματα.
θήσω δ' αὐτὴν τὴν τοῦ φιλοσόφου λέξιν »Ἄλλος ἐκ τοῦ τὸν
χρόνον σκοπεῖν (3) οἷον, ὡς Ἰφικράτης (4) ἐν τῇ
πρὸς Ἁρμόδιον ὅτι (5)· Εἰ, πρὶν ποιῆσαι, ἠξίου (6)
τῆς εἰκόνος τυχεῖν, ἐὰν ποιήσῃ, ἔδοτ' (7) ἄν· ποιή-
σαντι δ' ἄρ' (8) οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν (9)
ὑπισχνεῖσθε· παθόντες δ' ἀφαιρεῖσθε. καὶ πάλιν
πρὸς τὸ Θηβαίους διιέναι Φίλιππον εἰς τὴν Ἀτ-
τικήν, ὅτι Εἰ, πρὶν βοηθῆσαι εἰς Φωκέας (10) ἠξίου,
ὑπέσχοντ' ἄν· ἄτοπον οὖν, εἰ, διότι (11) προεῖτο
καὶ ἐπίστευσεν, μὴ διήσουσιν.
Ὁ δὲ χρόνος οὗτος, ἐν ᾧ Φίλιππος ἠξίου Θηβαίους ἐπὶ

(1) Fortasse pars horum verborum postmodo a lectore suppleta est.

(2) παραλαμβάνειν Amb.

(3) Libri: ἄλλος εἰς τὸν χρόνον σκοπεῖ, quam lectionem correxi ex Aristotele edito Rhet. II. 23.

(4) ὁ Ἰφικράτης Amb. Vocula ὡς, post οἷον illata, suspicione non caret.

(5) ὃς Amb.

(6) Vulgo ἠξίουν et mox ποιήσω. Repraesentavi lectionem Amb., quocum conspirant codd. Aristot. QY^bZ^b.

(7) ἔδοξε Amb.

(8) ἀρ' accessit ex Aristotelis exemplaribus.

(9) Post μέλλοντες Morellii et Wolfii margo inserit εὖ πάσχειν: haud dubie de coniectura, eaque ex mea quidem sententia valde probabili. Simillimi ductus literarum in ὑπισχνεῖσθαι istis vocabulis fuerunt exitio.

(10) Vulgo Φωκεῖς, quae forma Accus. in vetere scriptore Attico ferenda non est. Paulo ante ex Aristotelis l.l. reposui Θηβαίους pro διὰ Θηβαίων, quae codicum scriptura originem debeat librariis, διιέναι a διέρχομαι (non a διίημι) male derivantibus. Indidem mox inserui εἰς ante Φωκέας. Deinde nolui iterare Dionysii lectiones aperte corruptas διέπτευσεν et δώσουσι, sed pro iis substitui Aristotelis editi scripturas, quae clara luce veritatis fulgeant.

(11) δόντι Amb.

τὴν Ἀττικὴν αὐτῷ δοῦναι δίοδον, ὑπομιμνήσκων (1) τῆς ἐν τῷ
πρὸς Φωκεῖς πολέμῳ γενομένης βοηθείας, ἐκ τῆς κοινῆς γίγνε-
ται (2) φανερὸς ἱστορίας. εἶχε γαρ οὕτως. Μετὰ τὴν Ὀλυν-
θίων ἅλωσιν ἐπ' (3) ἄρχοντος Θεμιστοκλέους συνθῆκαι Φιλίππῳ
πρὸς Ἀθηναίους ἐγένοντο περὶ φιλίας καὶ συμμαχίας. αὗται
δὲ (4) διέμειναν ἑπτετῆ (5) χρόνον ἄχρι Νικομάχου· ἐπὶ δὲ
Θεοφράστου, τοῦ μετὰ Νικόμαχον ἄρξαντος, ἐλύθησαν, Ἀθη-
ναίων μὲν Φίλιππον αἰτιωμένων ἄρχειν τοῦ πολέμου, Φιλίππου
δ' Ἀθηναίοις ἐγκαλοῦντος. Τὰς δ' αἰτίας, δι' ἃς εἰς τὸν πόλε-
μον κατέστησαν ἀδικεῖσθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρό-
νον, ἐν ᾧ τὴν εἰρήνην ἔλυσαν, ἀκριβῶς δηλοῖ Φιλόχορος
ἐν τῇ ἕκτῃ τῆς (6) Ἀτθίδος βίβλῳ. Θήσω δ' ἐξ αὐτῆς (7)
τἀναγκαιότατα· »Θεόφραστος Ἁλαιεύς (8)· ἐπὶ τούτου
Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ
προσέβαλεν· ἀποτυχὼν δ' ἐντεῦθεν Βυζάντιον
ἐπολιόρκει καὶ μηχανήματα προσῆγεν." Ἔπειτα
διεξελθών, ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς
ἐπιστολῆς, ταῦτα πάλιν κατὰ λέξιν ἐπιτίθησιν· »Ὁ δὲ δῆ-
μος ἀκούσας τῆς ἐπιστολῆς (9), καὶ Δημοσθένους
παρακαλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον καὶ
ψήφισμα (10) γράψαντος, ἐχειροτόνησε· τὴν μὲν
στήλην καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον
εἰρήνης καὶ συμμαχίας σταθεῖσαν, ναῦς δὲ πλη-
ροῦν καὶ τἄλλ' ἐνεργεῖν τὰ τοῦ πολέμου."

Ταῦτα γράψας κατὰ Θεόφραστον ἄρχοντα γεγονέναι, τῷ μετ'
ἐκεῖνον ἐνιαυτῷ (11) τὰ πραχθέντα μετὰ τὴν λύσιν τῆς εἰρήνης

---

(1) Ita recte Amb. Vulgo ὑπερμιμνήσκων, quod prorsus nihili est.

(2) Vulgo γίνεται. Correxi ex Amb. et alibi etiam sine codd. non monito lectore corrigam.

(3) ἐπ' addidi de meo.

(4) Inserui δὲ, quod ante διέμειναν facile excidere potuit.

(5) Vulgo ἑπταετῆ.

(6) Articulum addidi ex Amb.

(7) Praetulerim: ἐξ αὐτῆς αὐτὰ τἀν.

(8) Codd. Ἀλλαιεὺς, quod correxi, certatim monentibus viris doctis.

(9) Vocabula ταῦτα πάλιν—τῆς ἐπιστολῆς neglecta a librario, cuius oculi a praegresso τῆς ἐπιστολῆς ad hoc aberraverant, restitui e codice Amb. reddidique Philochoro, quae Dionysii esse credebantur. Frustra in his emendandis desudasse eruditos nihil est, quod miremur. Operae autem est post repertam veritatem contulisse Sylburgii adnotationem.

(10) Correxi ψήφισμα de coniectura pro ψηφίσματα.

(11) Sic Amb.; vulgo absurde ἐν αὐτῷ.

ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται· θήσω δὲ καὶ τούτων
αὐτὰ (1) τἀναγκαιότατα· »Λυσιμαχίδης Ἀχαρνεύς· ἐπὶ
τούτου τὰ μὲν ἔργα τὰ περὶ τοὺς νεωσοίκους καὶ τὴν
σκευοθήκην ἀνεβάλοντο διὰ τὸν πόλεμον τὸν πρὸς
Φίλιππον· τὰ δὲ χρήματ' ἐψηφίσαντο πάντ' εἶναι
στρατιωτικά, Δημοσθένους γράψαντος. Φιλίππου
δὲ καταλαβόντος Ἐλάτειαν καὶ Κυτίνιον (2) καὶ
πρέσβεις πέμψαντος (3) εἰς Θήβας Θετταλῶν, Αἰ-
νιάνων, Αἰτωλῶν, Δολόπων, Φθιωτῶν, Ἀθηναίων
δὲ κατὰ τὸν αὐτὸν χρόνον πρέσβεις ἀποστειλάντων
τοὺς περὶ Δημοσθένη, τούτοις συμμαχεῖν (Θηβαῖοι)
ἐψηφίσαντο" (4). Φανεροῦ δὴ (5) γεγονότος τοῦ χρόνου,
καθ' ὃν εἰσῆλθον εἰς Θήβας οἵ τ' Ἀθηναίων πρέσβεις οἱ περὶ
Δημοσθένη καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ Λυσιμαχίδην
ἄρχοντα πίπτει, παρεσκευασμένων ἤδη τὰ πρὸς τὸν πόλεμον
ἀμφοτέρων, αὐτὸς ὁ Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ περὶ τοῦ
στεφάνου (6) λόγῳ, τίνες ἦσαν αἱ παρὰ τῶν πρεσβειῶν ἀμφο-
τέρων ἀξιώσεις (7). θήσω δ' ἐξ αὐτῆς λαβὼν τῆς ἐκείνου λέ-
ξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· Οὕτω (8) διαθεὶς
ὁ (9) Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων,
καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀπο-
κρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν Ἐλάτει-
αν κατέλαβεν, ὡς οὐδ' ἂν, εἴ τι γένοιτο, ἔτι συμ-
πνευσάντων (10) ὑμῶν καὶ τῶν Θηβαίων." Ἀλλὰ μὴν

---

(1) Vulgo αὐτῶν, quod de coniectura mea mutavi.

(2) Κατίνιον Amb.

(3) A suspicione, πεμψάντων legendum esse, recte hunc locum defendit Sylburgius.

(4) De coniectura inserui Θηβαῖοι. Deinde ἐψηφίσατο habet Reiskiana editio, sed, ut apparet e versione Latina, vitium est operarum.

(5) Vulgo δὲ, quod ex Amb. emendavi.

(6) Addidi articulum ante στεφάνου. Cf. v. c. cap. XII: πλὴν ἑνὸς τοῦ περὶ τοῦ στεφάνου κτἑ.

(7) Vocabula λόγῳ—ἀξιώσεις, quae vulgo desiderantur, supplevi ex Amb., correcto tamen παρὰ pro περὶ, quod nullo sensu is liber habet ante τῶν πρεσβειῶν.

(8) οὕτως Amb.

(9) Articulum om. Amb.

(10) Vulgo συμπνευσόντων, quod correxi, quia tempus futurum cum particula ἂν iungi nequit. Idem vitium deturpat Demosthenem editum § 168. Mox Dionysii codd. habent ἡμῶν ἂν καὶ τῶν Θηβαίων: contra codd. Demosthenis Σ k s ἂν ἡμῶν, unde suspicor duplex vitium originem duxisse ex huiusmodi scrip-

τὰ τότε συμβάντα διεξελθὼν, διεξελθὼν δὲ καὶ τοὺς ῥηθέντας ὑφ' ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ' Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα κατὰ λέξιν ἐπιτίθησιν· »Ὡς δ' (1) ἀφικόμεθ' εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς." Ἔπειτ' ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι ταῦτ' ἐπιτίθησιν· »Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προῆγον (2) ἐκείνους (προτέρους) διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παριόντες ἐδημηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῖν ἐγκαλοῦντες, πάνθ', ὅσα πώποτ' ἐναντί' ἐπράξατε Θηβαίοις (3), ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον ἠξίουν, ὧν μὲν εὖ ἐπεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀποδοῦναι· ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται, δίκην λαβεῖν ὁποτέρως βούλονται, ἢ διιέντας αὐτοὺς ἐφ' ὑμᾶς, ἢ συνεμβάλλοντας (4) εἰς τὴν Ἀττικήν." Εἰ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα, τὸν μετὰ Θεόφραστον, λελυμένης ἤδη τῆς εἰρήνης, οἱ παρὰ Φιλίππου πρέσβεις εἰς Θήβας ἀπεστάλησαν παρακαλοῦντες αὐτοὺς μάλιστα μὲν συνεισβαλεῖν (5) εἰς τὴν Ἀττικὴν, εἰ δὲ μὴ, δίοδόν γε τῷ Φιλίππῳ παρασχεῖν, μεμνημένους τῶν εὐεργεσιῶν αὐτοῦ τῶν περὶ τὸν Φωκικὸν πόλεμον· ταύτης δὲ μέμνηται τῆς πρεσβείας (6) Ἀριστοτέλης, ὡς ὀλίγῳ πρότερον ἐπέδει-

ἀν

tura: *οὐδ' ἄν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ἡμῶν κτέ.* Mox *ὑμῶν* ex Demosth. edito dedi pro *ἡμῶν*.

(3) Demosth. *de Cor.* § 211: *ὡς γὰρ κτέ.*

(1) Et Demosthenis et Dionysii libri conspirant in *προσῆγον*, quod tamen hac quidem in re ferri nequit. Mox addidi *προτέρους* ex Demosthene edito § 213. Fortasse tamen apud Dionysium antiqua lectio haec fuit *προτέρους προῆγον*.

(2) Recte ita Amb. et Demosth. l.l. Vulgatur *Θηβαίους*. Notabilior est lectionis varietas *ὑμῖν ἐγκαλοῦντες* pro *ὑμῶν κατηγοροῦντες*, quemadmodum editur apud Dem. l.l. Mox dedi *ἐπεπόνθεσαν* pro *πεπόνθεσαν*, invitis utriusque scriptoris codd. Fortasse per aphaeresin olim scribebatur: *εὖ 'πεπόνθεσαν*.

(4) Ita cum. Amb. et codd. Ωpu et pr. F. Demosth. dedi pro *συνεμβαλόντας*, servato *διιέντας* (pro *διέντας*), quod habet quoque cod // Dem. Tempus praesens propterea praetuli, quod eo ipso poenas de Atheniensibus sumturi erant Thebani, si Philippo transitum permitterent, aut una cum eo Atticam invaderent.

(5) Vulgo *συνεισβάλλειν*, quod mutavi propter sequentem, qui *ἐκ παραλλήλου* ponitur, Aoristum. Mox post *δίοδον* de meo inserui necessariam particulam *γε*.

(6) Vocabula *ταύτης—πρεσβείας* errore omissa in Amb.

ξα (1), τὰς ἐκείνου λέξεις παρασχόμενος (2). Ἀναμφιλόγοις ἄρ' (3) ἀποδέδεικται τεκμηρίοις, ὅτι πάντες οἱ Δημοσθένους ἀγῶνες οἱ πρὸ τῆς Λυσιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι προτεροῦσι (4) τῶν Ἀριστοτέλους τεχνῶν.

CAPUT XII.

Ἑτέραν δὲ (5) προσθήσω μαρτυρίαν παρὰ τοῦ φιλοσόφου λαβὼν, ἐξ ἧς ἔτι μᾶλλον ἔσται φανερὸν, ὅτι μετὰ τὸν πόλεμον τὸν συμβάντα τοῖς Ἀθηναίοις πρὸς Φίλιππον, αἱ ῥητορικαὶ συνετάχθησαν ὑπ' αὐτοῦ τέχναι, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ πάντας εἰρηκότος τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς λόγους, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. Διεξιὼν γὰρ τοὺς τύπους τῶν ἐνθυμημάτων ὁ φιλόσοφος, καὶ τὸν ἐκ τῆς αἰτίας τίθησι· παρέξομαι δὲ τὴν ἐκείνου λέξιν· »Ἄλλος παρὰ τὸ ἀναίτιον, ὡς αἴτιον (6)· οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι καὶ μάλισθ' οἱ ἐν ταῖς πολιτείαις· ὡς (7) ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν. μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος". (8) Ποίους γοῦν (9) ὁ Δημοσθένης κατεσκεύασεν ἀγῶνας ταῖς Ἀριστοτελείοις τέχναις ὁδηγοῖς χρησάμενος, εἰ πάντες οἱ δημόσιοι λόγοι, δι' οὓς ἐπαινεῖταί τε καὶ θαυμάζεται, πρὸ τοῦ πολέμου γεγόνασιν, ὡς πρότερον ἐπέδειξα (1), πλὴν ἑνὸς τοῦ περὶ τοῦ στεφάνου; οὗτος γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθε μετὰ τὸν πόλεμον ἐπ' Ἀριστοφῶντος ἄρχοντος ὀγδόῳ (10) μὲν ἐνιαυτῷ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην,

(1) Malim *ἀπέδειξα*.

(2) Malim *παρεχόμενος*.

(3) Sic scribendum esse putavi pro *ἄν*, quod exhibet Amb.; vulgo prorsus omittitur.

(4) Vulgo *πρότεροι*; Amb. habet *πρότερον*. Rescripsi *προτεροῦσι*. Sylburg. ex edit. Morell. et Wolf., a fine supplevit *εἰσιν*.

(5) *δέ* addidi ex ingenio. Mox malim: *παρ' αὐτοῦ τοῦ φιλοσόφου*.

(6) *παρὰ τὸν αἴτιον*, om. voc. *ὡς αἴτιον*, Amb.

(7) *οἷον ὡς* l. l. Rhetor. II, 24 habet Aristoteles, ubi *ὡς* omittit cod. Q.

(8) *μετ' ἐκεῖνο γὰρ*, omissis vocabulis *συνέβη ὁ πόλεμος*, relicto tamen spatio. Amb.

(9) *ποίοις γ' οὖν* Amb.

(10) Abest numerus ab Amb.

ἕκτῳ δὲ μετὰ τὴν Φιλίππου τελευτὴν (1), καθ' ὃν χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην. Εἰ δέ τις ἐρεῖ τῶν πρὸς ἅπαντα φιλονεικούντων, ὅτι τοῦτον ἴσως ἔγραψε τὸν λόγον ταῖς Ἀριστοτέλους ἐντετυχηκὼς (2) τέχναις, τὸν κράτιστον ἁπάντων λόγον (3)· πολλὰ πρὸς αὐτὸν εἰπεῖν ἔχων, ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένηταί μοι, καὶ τοῦτον ἐπιδείξειν ὑπισχνοῦμαι τὸν ἀγῶνα πρὸ τῶν Ἀριστοτέλους τεχνῶν ἐπιτετελεσμένον, αὐτῷ χρησάμενος τῷ φιλοσόφῳ μάρτυρι. Προθεὶς γὰρ τόπον ἐνθυμημάτων τὸν ἐκ τῶν πρὸς ἄλληλα, ταῦτα κατὰ λέξιν γράφει· »Ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· Εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ δικαίως ποιῆσαι (4), θατέρῳ τὸ πεπονθέναι· καὶ εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι· οἷον, ὡς ὁ τελώνης Διομέδων (5) περὶ τῶν τελῶν· Εἰ γὰρ μηδ' ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδ' ἡμῖν τὸ ὠνεῖσθαι· καὶ· Εἰ τῷ πεπονθότι τὸ καλῶς καὶ (6) δικαίως ὑπάρχει, [τῷ πεπραγμένῳ ὑπάρξει] καὶ τῷ ποιήσαντι· καὶ, (εἰ τῷ ποιήσαντι,) καὶ τῷ πεπονθότι (7)· Ἔστι δ' ἐν τούτῳ (8) παραλογίσασθαι. Οὐ γὰρ, εἰ δικαίως ἔπαθέ (9) τις, καὶ δικαίως ὑπὸ σοῦ πέπονθε· (10) διὸ δεῖ

(1) Sic iam Bentleus locum emendavit, quum antea legeretur: *ἄρχοντος μὲν ἐνιαυτὸν μετὰ τ. ε. χ. μ. ὀκτὼ δὲ μετὰ τ. Φ. τ.* Amb. servat vulgatam lectionem.

(2) *ἐντετευχώς* Amb.

(3) Ultimum vocabulum abesse malim.

(4) Om. vocab. *θατέρῳ ποιῆσαι* Amb.

(5) *ὁ Διομέδων* Amb., om. voc. *περὶ—τελωνῶν.* Ita enim legebatur. Ego correxi ex Aristot. Rhet. II, 23.

(6) Arist. *ἤ* l. l. minus recte. Uncis quadratis sepsi, quae (et iure opinor) non leguntur apud Aristotelem, rotundis, quae ex eodem inserui.

(7) Codd. *ἢ ποιοῦντι* pro: *καὶ εἰ—πεπονθότι;* quae emendavi ex Arist. ed.

(8) *δὲ τοῦτο* Amb. et cod. A[c] Aristotelis.

(9) Additur in codd. particula *ἂν* post *ἔπαθεν*, quam expunxi. Nec habent *ἂν* codd. Arist., unde contra adscivi necessariam voculam *τις(τι)*. Sequentia de coniectura mutavi. Est enim in codd. *ὑπὸ τούτου πέπονθεν*, dum in Aristot. edito scribitur sic: *εἰ γὰρ δικαίως ἔπαθέν τι* (l. *τις*) *δικαίως πέπονθεν, ἀλλ' ἴσως οὐχ ὑπὸ σοῦ*, quae scriptura ab illa mirum quantum distat. Mox pro *ἂν ἁρμόττῃ* ap. Arist. legitur *ἁρμόττει.* Quae deinde sequuntur ab ipso Dionysio sunt contracta in brevius. In vicinia *διό* ante *δεῖ* inserui ex Amb.; et sic Aristoteles.

(10) Omisi vocabula: *ὡς ὁ φόνου ἄξια ποιήσας πατὴρ, εἰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἑαυτοῦ τὴν ἐπὶ θανάτῳ ἀπάγεται*, quae leguntur in codd. et edd. Absunt ab Amb. libro, et Aristotelis quoque codd. summo consensu ista omittunt. Postea demum exempla affert Aristoteles, et tam absurde haec verba interponuntur, ut vel sine codd. expungere non dubitarem. Tandem cum Amb. scripsi: *ἐν τῷ Ἀλκμαίωνι τῷ* (pro *τοῦ*) *Θεοδέκτου.*

σκοπεῖν χωρὶς, εἰ ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας ποιῆσαι· εἶτα χρῆσθαι ὁποτέρως ἂν ἁρμόττῃ. Ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον· ὥσπερ ἐν τῷ Ἀλκμαίωνι τῷ Θεοδέκτου, καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα." Τίς οὖν ἐστιν ἡ Δημοσθένους δίκη καὶ τῶν ἀποκτεινάντων Νικάνορα, περὶ ἧς ὁ φιλόσοφος γέγραφεν, ἐν ᾗ τὸ κυριώτατον τῆς ἀμφισβητήσεως κεφάλαιον ἦν ἐκ τοῦ πρὸς ἄλληλα τόπου ἢ (2) ἡ πρὸς Αἰσχίνην ὑπὲρ Κτησιφῶντος, τοῦ παρασχόντος Δημοσθένει τὸ περὶ τοῦ στεφάνου ψήφισμα, καὶ τὴν τῶν παρανόμων φεύγοντος γραφήν; Ἐν ταύτῃ γὰρ τὸ ζητούμενον ἦν, οὐ τὸ κοινὸν, εἰ τιμῶν καὶ στεφάνων ἄξιος ἦν Δημοσθένης, ἐπιδοὺς (3) ἐκ τῶν ἰδίων κτημάτων τὴν εἰς τὰ τείχη δαπάνην· ἀλλ' εἰ καθ' ὃν χρόνον ὑπεύθυνος ἦν, κωλύοντος τοῦ νόμου τοὺς ὑπευθύνους στεφανοῦν. Τὸ γὰρ ἐκ τῶν πρὸς ἄλληλα τοῦτ' ἔστιν, εἰ, ὥσπερ τῷ δήμῳ τὸ δοῦναι, οὕτω (4) καὶ τῷ ὑπευθύνῳ τὸ λαβεῖν τὸν στέφανον ἐξῆν.

Ἔγὼ μὲν οὖν ταύτης οἴομαι τῆς δίκης μεμνῆσθαι τὸν Ἀριστοτέλη· εἰ δέ τις ἐρεῖ, ὅτι περὶ τῆς τῶν δώρων, ἣν ἐπ' Ἀντικλέους ἄρχοντος ἀπελογήσατο, περὶ τὴν Ἀλεξάνδρου τελευτὴν, πολλῷ (5) νεωτέρας ἔτι ποιήσει τὰς Ἀριστοτέλους τέχνας τῶν Δημοσθένους ἀγώνων. Ἀλλὰ γὰρ, ὅτι μὲν οὐχ ὁ ῥήτωρ παρὰ τοῦ φιλοσόφου τὰς τέχνας παρέλαβεν, ἃς εἰς τοὺς θαυμαστοὺς ἐκείνους κατεσκεύασε λογοὺς, ἀλλὰ τοὐναντίον τὰ Δημοσθένους καὶ τὰ τῶν ἄλλων ῥητόρων ἔργα παρατιθέμενος (6) Ἀριστοτέλης ταύτας ἔγραψε τὰς τέχνας, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω.

(2) Nescio an reponendum sit: *τίς—ἄλλη ἢ ἡ κτέ* vel: *τίς οὖν* (*ἑτέρα*) *ἐστιν—ἢ ἡ κτέ.*

(3) Vulgo *ἐπιδιδούς*; quod correxi.

(4) Vulgo *οὕτως.*

(5) Vulgo *πολλῶν* absurde.

(6) Vulgo *παραθέμενος*; minus recte. Male autem vertunt: *oratorum exemplis adiutus*, nam *παρατίθεσθαι* est *laudare* s. *apponere* scriptorum locos.

ΔΙΟΝΥΣΙΟΥ

ΤΟΥ

ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΓΝΑΙΟΝ ΠΟΜΠΗΙΟΝ(1)

ΔΙΟΝΥΣΙΟΣ ΓΝΑΙΩΙ ΠΟΜΠΗΙΩΙ ΧΑΙΡΕΙΝ.

Ἐπιστολήν τινα παρὰ σοῦ κομισθεῖσαν ἐδεξάμην εὐπαίδευτόν τε καὶ πάνυ μοι κεχαρισμένην· ἐν ᾗ γράφεις, ὅτι τὰς συντάξεις τὰς ἐμὰς, ἐπιχορηγοῦντός σοι Ζήνωνος, τοῦ κοινοῦ φίλου, διαπορευόμενος καὶ πάνυ διατιθέμενος οἰκείως ἐν αὐταῖς, τὰ μὲν ἄλλα θαυμάζεις, ἑνὶ δὲ μέρει δυσχεραίνεις τῶν ἐν αὐταῖς κατακεχειρισμένων (2), τῇ Πλάτωνος κατηγορίᾳ. Ὅτι μὲν οὖν σεβαστικῶς διάκεισαι πρὸς τὸν ἄνδρα, ὀρθῶς ποιεῖς· ὅτι δὲ περὶ ἡμῶν τοῦθ' (3) ὑπείληφας, οὐκ ὀρθῶς. Εἰ γάρ τις καὶ ἄλλος, ἐκπλήττομαι ταῖς Πλατωνικαῖς ἑρμηνείαις· (4) ὃ δὲ πέπονθα πρὸς ἅπαντας, ὅσοι τὰς αὐτῶν ἐπινοίας εἰς τὴν

(1) Titulus abest a codd.

α ει (m. 2)

(2) Absurde vulgo κατακεχωρισμένων. Amb. κατεκεχωρισμένων.

(3) Reposui τοῦθ' pro ταῦτα. Intelligit enim τὸ ἡμᾶς κατηγορεῖν Πλάτωνος.

(4) Sic audaci, sed probabili, ut opinor, coniectura correxi languidam et interpolatam, quam libri habent, orationem. Nempe legitur: εἰ γάρ τις ἄλλος ἐκπλήττεται ταῖς Πλατωνικαῖς ἑρμηνείαις, εὖ ἴσθι, νῦν κἀγὼ τούτων εἷς εἰμι. Quam scripturam si genuinam esse putas, rescribas certe: εὖ ἴσθι νυν ὅτι κἀγὼ κτέ.

κοινὴν φέρουσιν ὠφέλειαν, ἐπανορθοῦντες ἡμῖν (1) βίους τε καὶ λόγους, ἐρῶ σοι· καὶ ποιήσω σε (2) νὴ Δία πιστεύειν, ἐμὲ καινὸν οὐδὲν εἰρηκέναι οὐδὲ παράδοξον, οὐδ' ὃ μὴ πᾶσιν ὁμοίως δοκεῖ.

Ἐγὼ οὖν νομίζω (3), ὅταν μὲν ἔπαινον προέληται γράφειν τις (4) πράγματος εἴτε σώματος ὁποιουγέτινος (5), τὰς ἀρετὰς αὐτὸν (6) καὶ οὐ τἀτυχήματα, εἴ τινα πρόσεστι (7), δεῖν προφέρειν· ὅταν δὲ βουληθῇ διαγνῶναι, τί τὸ κράτιστόν ἐστιν (8) ἐν ὁτῳδήποτε βίῳ, καὶ τί τὸ βέλτιστον τῶν ὑπὸ ταὐτὸ γένος ἔργων, τὴν ἀκριβεστάτην ἐξέτασιν ποιεῖσθαι (9), καὶ μηδὲν παραλείπειν τῶν προσόντων αὐτοῖς εἴτε κακῶν εἴτ' ἀγαθῶν. Ἡ γὰρ ἀλήθεια οὕτως εὑρίσκεται μάλιστα, ἧς οὐδὲν χρῆμα τιμιώτερον. Τοῦτο δὴ (10) προθέμενος ἐκεῖνο λέγω· εἰ μὲν ἔστι μοι κατὰ Πλάτωνος λόγος τις καταδρομὴν περιέχων τἀνδρὸς (11), ὥσπερ Ζωΐλῳ τῷ ῥήτορι, ἀσεβεῖν (12) ὁμολογῶ, καὶ (13), εἴ γε βουληθεὶς ἐγκώμιον αὐτοῦ γράφειν ψόγους (14) τινὰς ἐγκαταπλέκω τοῖς ἐπαίνοις. Οὐ γὰρ ὅτι διαβολὰς οἴομαι δεῖν γράφειν ἐν αὐτοῖς, ἀλλ' οὐδ' ἀπολογίας. Εἰ δὲ χαρακτῆρας λόγου προελόμενος σκοπεῖν καὶ τοὺς πρωτεύοντας ἐν αὐτοῖς φιλοσόφους τε καὶ ῥήτορας ἐξετάζειν, τρεῖς

(1) Vulgo ἡμῶν, quod correxi.

(2) Ita de coniectura rescripsi pro πείσω γε, deinde ante καινόν inserui ἐμέ, mutata in εἰρηκέναι codicum scriptura εὑρεῖν, quam in ἐρεῖν praepostere mutavit Reiskius.

(3) Expunxi δεῖν, quod sequebatur post νομίζειν, iubente Reiskio.

(4) Additum malim εἴτε, quod facillime post γράφειν τις excidere potuit. Sed vide Heindorf. ad Plat. Soph. § 21.

(5) Exspectaveram ὁποιουγετινοσοῦν.

(6) Vulgo αὐτοῦ. Verius puto id, quod reposui.

(7) Omisi, quod additur in codd. manifestum emblema: τῷ πράγματι ἢ τῷ σώματι. Praeterea cum Reiskio εἴ τινα dedi pro εἴ τι.

(8) Inserui ἐστιν, quod absorptum esse puto cauda praecedentis vocabuli.

(9) Vulgo προφέρειν, male repetitum e praegressis. Audacter reposui, quod unice verum esse arbitror. Mox dubito, an genuinum sit pronomen αὐτοῖς, quod abesse malim.

(10) Sic recte Amb.; vulgo τοῦτο δέ.

(11) Vulgo τοῦ ἀνδρὸς.

(12) Pro ἀσεβεῖν aliquis praetulerit ἀδικεῖν, quod de confitente reo sollemne est. Ego nihil mutaverim.

(13) Num forte καὶ (νὴ Δία), εἴ γε κτέ.?

(14) Ita ex ingenio rescripsi pro λόγους, omisso νόμους post ἐπαίνοις cum Amb. Ψόγους rescribendum esse iam non latuit Reiskium, cui obsecutus praeterea dedi ἐγκαταπλέκω pro συγκαταπλέκω, probante etiam Kruegero.

μὲν ἐξ ἁπάντων ἐξελεξάμην τοὺς δοκοῦντας εἶναι λαμπροτάτους, Ἰσοκράτην τε καὶ Πλάτωνα καὶ Δημοσθένη, ἐκ δὲ τούτων αὐτῶν πάλιν προέκρινα Δημοσθένη (1), οὐδὲν ᾤμην, οὔτε Πλάτωνα, οὔτ' Ἰσοκράτην ἀδικεῖν.

Νὴ Δία, φησίν (2), ἀλλ' οὐκ ἔδει σε τὰ Πλάτωνος ἁμαρτήματ' ἐξελέγχειν, βουλόμενον ἐπαινεῖν (3) Δημοσθένην. Ἔπειτα πῶς ἄν μοι τὴν ἀκριβεστάτην βάσανον ὁ λόγος ἔλαβεν, εἰ μὴ τοὺς ἀρίστους λόγους τῶν Ἰσοκράτους τε καὶ Πλάτωνος τοῖς κρατίστοις τῶν (4) Δημοσθένους ἀντιπαρέθηκα καὶ καθ' ὃ μέρος ἥττους οἱ τούτων λόγοι εἰσὶ τῶν ἐκείνου (5) μετὰ πάσης ἀληθείας ἐπέδειξα; οὐχ ἅπαντα τοῖς ἀνδράσιν ἐκείνοις ἡμαρτῆσθαι λέγων· μανία γὰρ τοῦτό γε· ἀλλ' οὐδ' ἅπαντ' ἐπ' ἴσης κατωρθῶσθαι. Εἰ δὲ τοῦτ' οὐκ (6) ἐποίουν, ἐπῄνουν δὲ Δημοσθένην, πάσας διεξιὼν αὐτοῦ τὰς ἀρετὰς, ὡς μὲν ἀγαθός ἐστι ῥήτωρ (7), ἔπεισα πάντως ἂν τοὺς ἀναγνωσομένους· ὡς δὲ καὶ κράτιστος πάντων τῶν πρωτευσάντων περὶ λόγους, οὐκ ἂν ἔπεισα, μὴ παρατιθεὶς αὐτῷ τοὺς ἀρίστους. Πολλὰ γὰρ τῶν καθ' αὑτὰ φαινομένων καλῶν τε καὶ θαυμαστῶν, ἑτέροις ἀντιπαρατεθέντα (8) κρείττοσιν, ἐλάττω τῆς δόξης ἐφάνη· οὕτω γέ τοι καὶ χρυσὸς, ἑτέρῳ χρυσῷ παρατεθεὶς κρείττων ἢ χείρων ὢν (9) εὑρίσκεται, καὶ πᾶν ἄλλο χειρούργημα, καὶ ὅσων ἐνάργεια (10) τὸ τέλος.

Εἰ δ' ἀχάριστον ὑπολήψεταί τις ἐν τοῖς πολιτικοῖς λόγοις τὴν ἐκ συγκρίσεως (11) ἐξέτασιν, καὶ καθ' ἑαυτὸ (12) ἕκαστον ἀξιώσει σκοπεῖν, οὐδὲν κωλύσει ταὐτὸ (13) τοῦτο κἀπὶ τῶν ἄλλων ποιεῖν, καὶ μήτε ποίησιν ἀντεξετάζειν ἑτέρᾳ ποιήσει,

---

(1) Δημοσθένη codd. Kruegerus reposuit Δημοσθένην.

(2) φησίν contra Sylburgii coniecturam φήσεις bene tuetur Reiskius.

(3) Malim βουλόμενόν γ' ἐπαινεῖν.

(4) Articulum addidi de meo. Sin minus, τῶν delendum ante Ἰσοκράτους.

(5) Malim fere: οἱ ἐκείνων λ. ε. τ. τούτου, tum propter praegressa, tum vero maxime ob sequentia. Mox emendavi μανία γὰρ pro μανίας γὰρ κτέ.

(6) Rectissime οὐκ, quamvis praegresso εἰ, quia negatio arctissime cum verbo ἐποίουν coniungitur.

(7) Ita scribendum esse duxi pro vulgatis: ὡς μὲν ἀγαθὸς ὁ ῥήτωρ.

(8) παρατεθέντα cod. Reg. non male; mox malim ἀνεφάνη.

(9) Vulgo τε καὶ χείρων, quae de coniectura correxi.

(10) Hudsonus ἐνέργεια suspicatur, sed neque hoc neque illud satis mihi expeditum locum reddit.

(11) Codd. τῆς συγκρίσεως. Delevi articulum.

(12) ἑαυτόν Amb.

(13) τὸ αὐτό vulgo et mox καὶ ἐπί.

μήθ' ἱστορικὴν σύνταξιν ἑτέρᾳ συντάξει ἱστορικῇ (1), μήτε πολιτείαν πολιτείᾳ, μὴ νόμον νόμῳ, μὴ στρατηγὸν στρατηγῷ, μὴ βασιλεῖ βασιλέα, μὴ βίῳ βίον, μὴ δόγματι δόγμα. Τοῦτο δ' οὐκ ἄν τις συγχωρήσειε νοῦν ἔχων. Εἰ δὲ δεῖ καὶ τὰς ἐκ τῶν μαρτυριῶν παρασχέσθαι σοι πίστεις, ἐξ ὧν μᾶλλόν σοι γενήσεται καταφανὲς, ὅτι κράτιστος ἐλέγχου τρόπος ὁ κατὰ σύγκρισιν γίγνομενος (2), ἀφεὶς τοὺς ἄλλους, αὐτῷ χρήσομαι μάρτυρι Πλάτωνι. Βουληθεὶς γὰρ ἁνὴρ (3) ἐπιδείξασθαι τὴν αὑτοῦ δύναμιν, ἣν εἶχεν ἐν τοῖς πολιτικοῖς λόγοις, οὐκ ἠρκέσθη ταῖς ἄλλαις γραφαῖς, ἀλλὰ καὶ (τὸν) κράτιστον τῶν τότε ῥητόρων (ζηλώσας) (4) ἕτερον αὐτὸς ἐν τῷ Φαίδρῳ συνετάξατο λόγον ἐρωτικὸν εἰς τὴν ὑπόθεσιν· καὶ οὐδ' ἄχρι τούτου προελθὼν ἐπαύσατο, καταλιπὼν (5) τοῖς ἀναγνωσομένοις τὴν διάγνωσιν, ὁπότερός ἐστι κρείττων (6), ἀλλὰ καὶ τῶν ἁμαρτημάτων ἥψατο τῶν Λυσιείων (7), τὰς μὲν λεκτικὰς μαρτυρῶν τἀνδρὶ ἀρετὰς, τῶν δὲ πραγματικῶν ἐπιλαμβανόμενος.

Ὁπότ' οὖν Πλάτων τὸ φορτικώτατον κἀπαχθέστατον τῶν ἔργων προελόμενος, αὐτὸν ἐπαινεῖν κατὰ τὴν δύναμιν τῶν λόγων (8), οὐδὲν ᾤετο ποιεῖν κατηγορίας ἄξιον, εἰ παρὰ τὸν ἄριστον τῶν τότε ῥητόρων τοὺς ἰδίους ἐξετάζειν ἠξίου λόγους, ἐπιδεικνύμενος Λυσίαν τ' ἐν οἷς ἡμάρτηκε καὶ ἑαυτὸν ἐν οἷς κατώρθωκε, τί θαυμαστὸν ἐποίουν ἐγὼ, τοῖς Δημοσθένους λόγοις συγκρίνων τοὺς Πλάτωνος, καὶ, εἴ τι μὴ καλῶς ἐν αὐτοῖς ἔχειν ᾤμην, ἐπιλογιζόμενος (9); ἐῶ γὰρ τὰς ἄλλας αὐτοῦ

---

(1) ἱστορικῇ, quod abest a libris, supplevi, monente iam Kruegero.

(2) Sic dedi ex Amb. Vulgo γινόμενος. De quo novandi genere semel monuisse sufficiat.

(3) Codd. ὁ ἀνήρ.

(4) Quae uncis inclusa sunt ex ingenio addidi. Erit tamen fortasse, qui corrigere malit: ἀλλὰ καὶ τὸν κράτιστον τῶν τότε ῥητόρων (Λυσίαν ἐρωτικὸν λόγον γράψαντα ὁρῶν). ἕτερον αὐτὸς συνετάξατο εἰς τὴν (αὐτὴν) ὑπόθεσιν. Quod autem Kruegerus coniecit: ἀλλὰ παρὰ τὸν κράτιστον κτέ, quo sensu illud vult intelligi, Graecum non esse arbitror.

(5) Praeposit. ἐν post καταλιπὼν delevi, suadente Reiskio.

(6) Omisi λόγος, quod codd. inserunt post κρείττων, utpote interpretandi causa additum.

(7) Sic leniter correxi lectionem cod. Ambrosiani Λυσείων. Vulgo scribitur Λυσίου. Mox more meo pro τῷ ἀνδρὶ revocavi crasin. In vicinia nescio an αὐτός invitis libris Mscr. addendum sit ante Πλάτων.

(8) Epexegeseos ratio requirit: τὸ αὐτὸν κτέ. Modo ab ipso Dionysio hoc additamentum profectum sit. Nam de ea re subdubito.

(9) An ὑπολογιζόμενος i. e. *rationem habens* ?

γραφὰς παραφέρειν, ἐν αἷς κωμῳδεῖ τοὺς πρὸ ἑαυτοῦ, Παρμενίδην τε καὶ Ἱππίαν καὶ Πρωταγόραν, καὶ Πρόδικον καὶ Γοργίαν καὶ Πῶλον καὶ Θεόδωρον καὶ Θρασύμαχον καὶ ἄλλους συχνούς, οὐκ ἀπὸ τοῦ βελτίστου πάντα περὶ αὐτῶν γράφων, ἀλλ', εἰ βούλει, καὶ ἀπὸ φιλοτιμίας. Ἦν μὲν γὰρ ἐν τῇ (1) Πλάτωνος φύσει, πολλὰς ἀρετὰς ἐχούσῃ, τὸ φιλότιμον· ἐδήλωσε δὲ τοῦτο μάλιστα διὰ τῆς πρὸς Ὅμηρον ζηλοτυπίας, ὃν ἐκ τῆς κατασκευαζομένης ὑφ' αὐτοῦ πολιτείας ἐκβάλλει (2), στεφανώσας καὶ μύρῳ χρίσας, ὡς δὴ τούτου αὐτῷ δέον ἐκβαλλομένου (3), δι' ὃν ἥ τ' ἄλλη παιδεία πᾶσα παρῆλθεν εἰς τὸν βίον καὶ τελευτῶσα ἡ φιλοσοφία. Ἀλλὰ θῶμεν ἀπὸ τοῦ βελτίστου δι' αὐτὴν τὴν ἀλήθειαν πάντα λέγειν (4) Πλάτωνα· τί οὖν ἄτοπον ἐποιοῦμεν, τοῖς ἐκείνου νόμοις χρώμενοι, καὶ ἀντιπαρεξετάζειν αὐτῷ τοὺς τῶν ἐπακμασάντων λόγους βουλόμενοι;

Ἔπειτα δ' οὐ μόνος οὐδὲ πρῶτος (5) ἐγὼ φανήσομαι κατὰ Πλάτωνος ἐπιχειρήσας τι λέγειν· οὐδ' ἄν τις ἔχοι κατ' αὐτὸ τοῦτο μέμψασθαί με τὸ μέρος, ὅτι τὸν ἐπιφανέστατον τῶν φιλοσόφων, καὶ πλείοσιν (6) ἢ δώδεκα γενεαῖς ἐμαυτοῦ πρεσβύτερον, ἐξετάζειν (7) ἐπεβαλόμην, ὡς δὴ διὰ τοῦτο δόξης τινὸς τευξόμενος. Πολλοὶ γὰρ εὑρεθήσονται πρὸ ἐμοῦ τοῦτο (8) πεποιηκότες, οἱ μὲν κατὰ τὸν ἐκείνου γενόμενοι χρόνον, οἱ δὲ

(1) Sic corrigenda videbatur librorum scriptura: ἦν γὰρ ἦν μὲν τῇ. Nec enim ferri potest, quod proposuit Sylburgius: ἦν γὰρ ἐν μὲν τῇ κτέ; neque ea orationis vehementia est, ut probemus eiusdem coniecturam: ἦν γὰρ ἦν ἐν μὲν τῇ κτέ. Cod. aliquando, credo, habuit: ἦν γὰρ ἐν κτέ, eaque fuit mendi origo.

(2) Suspicor: ἐκβάλλει (εἰ καὶ ἐρίῳ) στεφανώσας, cl. Plat. Polit. III, pag. 398 a.

(3) Ita dedi cum Kruegero e Reiskii coniectura pro absurda codicum lectione: τούτων—ἐκβαλλομένῳ, deinde cum iisdem articulum posui ante φιλοσοφία.

(4) Omisi turpe emblema ἀληθῆ, quod libri habent post λέγειν. Contra post ἐποιοῦμεν nescio, annon exciderit ἡμεῖς.

(5) Vulgo ἔπειτ' οὐδὲ—οὐδὲ π. Reiskius non male οὔτε—οὔτε, sed praeferendum puto, quod ipse posui. Quod autem Krugerus reponit: οὔτε—οὐδέ soloecum est. In iis, quae statim sequuntur, pro ἐπιφανήσομαι περί cogente sensu loci reposui ἐγὼ φανήσομαι κατά; illud cum Reiskio.

(6) Atticorum ratio postulat πλεῖν ἢ δώδεκα, quod tamen an nostro reddendum sit dubito.

(7) Inter ἐξετάζειν et ἐπεβαλόμην lacuna est medii fere versus im Ambr. Si quid excidit, fuerit aliquid huiuscemodi: αὐτὸς εἷς ὢν τῶν πολλῶν.

(8) Suspicari possis ταὐτὸ τοῦτο.

λίαν ὕστερον ἐπακμάσαντες. καὶ γὰρ τὰ δόγματα διέβαλον αὐτοῦ τινες, καὶ τοὺς λόγους ἐμέμψαντο· πρῶτος (1) μὲν ὁ γνησιώτατος αὐτοῦ μαθητὴς Ἀριστοτέλης, ἔπειτα δ' (2) οἱ περὶ Κηφισόδωρόν τε καὶ Θεόπομπον καὶ Ζωΐλον καὶ Ἀλκιδάμαντα (3) καὶ Δημήτριον καὶ ἄλλοι συχνοί, οὐ διὰ φθόνον ἢ διὰ φιλαπεχθημοσύνης κωμῳδοῦντες, ἀλλὰ τὴν ἀλήθειαν (4) ἐξετάζοντες. Τοσούτοις δὴ καὶ τηλικούτοις ἀνδράσι παραδείγμασι χρώμενος καὶ παρὰ πάντας τῷ μεγίστῳ Πλάτωνι, οὐδὲν ἡγούμην τῆς φιλοσόφου ῥητορικῆς ποιεῖν ἀλλότριον, ἀγαθοὺς ἀγαθοῖς ἀντεξετάζων. Περὶ μὲν οὖν τῆς προαιρέσεως, ἣν (5) ἔσχον ἐν τῇ συγκρίσει τῶν χαρακτήρων, ἱκανῶς ἀπολελόγημαι (6) καὶ σοί γε, ἡμῖν φίλτατε.

CAPUT II.

Λοιπὸν δ' ἐστί μοι καὶ περὶ αὐτῶν, ὧν εἴρηκα, λόγων περὶ τἀνδρὸς ἐν τῇ περὶ τῶν Ἀττικῶν πραγματείᾳ ῥητόρων (7), εἰπεῖν· θήσω δ' αὐταῖς λέξεσιν, ὡς ἐκεῖ γέγραφα (8)· Ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται μὲν εἶναι καὶ αὐτὴ μίγμα (9) ἑκατέρων τῶν χαρακτήρων τοῦ τε ὑψηλοῦ καὶ τοῦ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρότερον· πέφυκε δ' οὐχ ὁμοίως πρὸς ἀμφοτέρους [τοὺς χαρακτῆρας] εὐτυχής. Ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ ἀφελῆ καὶ ἀποίητον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά ἐστι καὶ φιλάνθρωπος· καθαρά τε γὰρ ἀποχρώντως γί-

(1) Libri πρῶτον.

(2) Addidi, invitis libris, particulam adversativam.

(3) Codd. Ἱπποδάμαντα. Reddidi Dionysio Ἀλκιδάμαντα, quod nomen hic restituendum esse, egregie monet Kruegerus, quem vide ad h. l.

(4) Fortasse aliquanto acrius noster scripserat: ἀλλ' αὐτὴν τὴν ἀλήθειαν. Sed mutatione nihil opus est. Mox praetulerim: καὶ παρὰ πάντας τῷ μεγίστῳ Πλάτωνι αὐτῷ. Post ΠΛΑΤΩΙ facile ΑΥΤΩΙ elabi potuit.

(5) Malim ἧς.

(6) Libri ἀπολελόγισμαι, quod correxi cum Kruegero. Nec tamen locum persanatum esse arbitror. Reiskius suspicatur: (καὶ ἄλλοις) καὶ σοί γε (πρώτῳ ὦ) ἡμῖν φίλτατε. Ego vitii sedem ἡμῖν esse crediderim. Non absurdum foret: ἱκανῶς ἀπολελογῆσ(θαι δοκῶ) μοι, καὶ σοί γε (δοκ)οῖμεν, ὦ φίλτατε.

(7) Malim ῥητόρων πραγματείᾳ. Ceterum hinc liquet libellum, qui hodie inscribitur περὶ τῆς λεκτικῆς Δημοσθένους δεινότητος, partem facere operis maioris de Oratoribus Atticis.

(8) Cod. P. ἔγραψα. Sed in mg. recte γέγραφα.

(9) Vulgo male δεῖγμα. Quod restitui cum Kruegero, habet cod. Paris., et ita legitur in libello περὶ τῆς δεινότητος Δημοσθένους. Mox ante ἰσχνοῦ inserui articulum plane necessarium. Deinde uncis inclusi vocabula mihi suspecta.

γνεται καὶ διαυγὴς, ὥσπερ τὰ διαφανέστατα τῶν ναμάτων (1)· ἀκριβής τε καὶ λεπτὴ παρ' ἡντινοῦν ἑτέραν τῶν εἰς τὴν αὐτὴν διάλεκτον εἰργασμένων· τήν τε κοινότητα διώκει τῶν ὀνομάτων καὶ τὴν σαφήνειαν ἀσκεῖ, πάσης ὑπεριδοῦσα κατασκευῆς ἐπιθέτου· ὅ τε πῖνος ὁ τῆς ἀρχαιότητος ἠρέμ' αὐτῇ καὶ λεληθότως ἐπιτρέχων (2), χλοερόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος ἀναδίδωσι· καὶ ὥσπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων αὖρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται (3)· καὶ οὔτε τὸ λιγυρὸν ἔοικεν ἐμφαίνειν λάλον, οὔτε τὸ κομψὸν θεατρικόν. Ὅταν δ' εἰς τὴν περιττολογίαν καὶ τὸ καλλιεπεῖν, ὃ πολλάκις εἴωθε ποιεῖν, ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ χείρων αὐτὴ (4) ἑαυτῆς γίγνεται Καὶ γὰρ (5) ἀηδεστέρα τῆς ἑτέρας καὶ κάκιον ἑλληνίζουσα καὶ παχυτέρα φαίνεται, μελαίνει τε (6) τὸ σαφὲς καὶ ζόφῳ ποιεῖ παραπλήσιον (7), ἕλκει τ' εἰς μακρὸν ἀποτείνουσα τὸν νοῦν, συστρέψαι δὲ δέον ἐν ὀλίγοις ὀνόμασιν, ἐκχεῖται εἰς ἀπειροκά-

(1) Codd. quidam *σωμάτων*.

(2) Constitui locum, ut legitur in Ambros., nisi quod e verissima Reiskij correctione dedi *ἐπιτρέχων* pro *ἐπιτρέχει*. Vulgo turpiter interpolatus fertur in hunc modum: *ὅ τε πῖνος αὐτῇ καὶ χνοῦς ὁ τῆς ἀρχαιότητος ἠρέμα καὶ λεληθότως ἐπιτρέχει*. Scin, unde emblema pedem intulerit? Nempe ex hoc scholio, quod marginale habent plerique, quos vidi, codd.: *πῖνος ὁ ῥύπος, ἤτοι ὁ ἐπικείμενος χνοῦς ὡς ἐπὶ μήλων καὶ ἀπίων καὶ δαμασκηνῶν*. Idem repetitur in libello *de Demosthenis a. v. d.* et teste Reiskio legitur quoque in exemplari, unde transscriptum est Bodleianum. Conferatur eiusdem libelli cap. 38 prope fin.: *ἀλλ' ἐπανθεῖ τις αὐταῖς χνοῦς ἀρχαιοπινὴς καὶ ἀβίαστος*. Ibid. cap. 39 med. *σεμνότης ἁρμονίας τὸν ἀρχαῖον φυλάττουσα πῖνον*. Ibid. cap. 45 vers. fin.: *οὔτε τὸν ἐπιδεικτικὸν αὐχμοῦ μεστὸν εἶναι καὶ πίνου*. Quod mox pro *χλοερόν* est in Ambros. et teste Reiskio in Paris. *ἱλαρόν* speciem habet. Cf. huius epistolae cap. 3 sub finem: *ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι κτἑ.* Verius tamen *χλοερόν*.

(3) *διαφέρεται* Paris. *εἰσφέρεται* meus P. Mox rescripsi *καλλιεπεῖν* (pro *κάλλιον εἰπεῖν*) i. e. *ore grandiore loqui* ex cod. Ambros. in lib. de Demosth. c. V. Loco, quem tractamus, habet *κάλλιστον εἰπεῖν*, quae lectio teste Reiskio exstat quoque in Cod. Par., nisi quod is in mg. habet *γρ. κάλλιον*. Scribitur autem *κάλλιον* in codd. sic ferme: *κάλλι*.

(4) *αὐτή* de coniectura mea inserui.

(5) Om. meus *γάρ*, et mox *τῆς ἑτέρας*; quod, ut verisimile est, propter *τὸ ὁμοιοτέλευτον* excidit.

(6) Male repetitur vulgo *γάρ* post *τε*, quod perspexit primus Reiskius. Ego delevi.

(7) Retinenda videbatur vulgata lectio: *ζόφῳ ποιεῖ παραπλήσιον*, spreta lectione codicis Parisiensis, *ζοφοποιεῖν*, quod verbum nusquam alibi reperitur, meroque errori originem debere verisimile est. Mox dedi *τ' εἰς μακρόν* pro *τε μακρόν* e Kruegeri coniectura.

λους περιφράσεις, πλοῦτον ὀνομάτων ἐπιδεικνυμένη κενόν· (1) ὑπεριδοῦσά τε τῶν κυρίων κἀν τῇ κοινῇ χρήσει κειμένων, τὰ πεποιημένα ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. Μάλιστα δὲ χειμάζεται περὶ τὴν τροπικὴν φράσιν. Πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις (2), σκληρὰ δὲ καὶ οὐ σώζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται· ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλὰς (3) οὔτε μέτρον ἐχούσας οὔτε καιρόν· σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς Γοργιείοις (4), ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται· καὶ πολυτέλειά τις (5) ἔστιν ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που, καὶ ἄλλοι συχνοὶ πρότερον (6)· οὐ γὰρ ἐμὸς ὁ μῦθος.

Μηδεὶς δέ με ταῦθ' ἡγείσθω (7) λέγειν ἁπάσης καταγιγνώσκοντα (8) τῆς ἐγκατασκεύου καὶ ἐξηλλαγμένης λέξεως, ᾗ κέχρηται Πλάτων (9)· (μὴ γὰρ οὕτω σκαιὸς μηδ' ἀναίσθητος ἐγὼ γενοίμην, ὥςτε ταύτην τὴν δόξαν περὶ ἀνδρὸς τηλικούτου λαβεῖν· ἐπεὶ πολλὰ καὶ περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυμαστὰ κἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ)· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενον μόνον (10), ὅτι τὰ τοιαῦθ' ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρτάνειν· καὶ χείρων μὲν αὐτὸς αὑτοῦ (11) γίγνεται, ὅταν τὸ μέγα διώκῃ καὶ περιτ-

(1) *κενόν* male om. Ambros., nec melius mox post *κυρίων* supplet *ὀνομάτων*. Contra cod. Paris. om. vocab. *ὑπεριδοῦσά τε*.

(2) Ita lego cum Kruegero pro *ἐπωνυμίαις* e coniectura Sylburgii.

(3) Usitatior ordo verborum est: *πολλὰς καὶ μακράς*.

(4) Vulgo corrupte *Γοργείοις*; quod eiusdem farinae est ac *Λύσειος*, *ὑγεία*, *ταμεῖον*, similia.

(5) *πολὺς ὁ τελετής* cod. P.

(6) In codd. quibusdam hic inseri *πρότερον* adnot. Steph. Quod quum legatur etiam in lib. de Demosth. l.l. probo Kruegeri crisin, hic quoque idem vocabulum inserentis.

(7) In *iud. de Demosth.* legitur: *τὰ τοιαῦθ' ὑπολαβῇ*.

(8) Vulgo *καταγινώσκοντα*. De hoc genere emendationis posthac non amplius monebo lectorem.

(9) Hic meus cod. P inserit *τῆς τοιαύτης φράσεως*, interpretamentum, opinor, praecedentium. In sqq. sequor cod. Ambr.; nisi quod minus recte omittit vocabula: *μήδ' ἀναισθητὸς ἐγώ*. Vulgo: *οὐ γὰρ ἂν οὕτω—γενοίμην*. Emendationem, si opus est, confirmabit libell. de Demosth. cap. VI init., nisi quod ibi quoque delenda particula *ἄν*.

(10) Vulgo *βουλόμενος*. Sylburgius coniecit *βούλομαι*. Reiskius reposuit *βουλόμενον*, quod ego ascivi, adiecto *μόνον*. Perspicuitatis causa praegressorum partem posui in parenthesi. Vide tamen, annon potius scribendum sit *βούλομαι μόνον*.

(11) Vulgo *αὐτοῦ*. Correxit Kruegerus.

τὸν ἐν τῇ φράσει· μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι, κατεσκευασμένην δ' ἀμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ· ἢ γὰρ οὐδὲν τόδ' (1) ἁμαρτάνει καθάπαξ (2) ἢ βραχύ τι κομιδῇ (3), καὶ οὐκ ἄξιον κατηγορίας. Ἐγὼ δ' ἠξίουν ἂν (4) τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν. Ταῦτα μέντοι καὶ οἱ κατ' αὐτὸν ἐκεῖνον γενόμενοι ὡς ἁμαρτάνοντι τἀνδρὶ ἐπιτιμῶσιν, ὧν τὠνόματ' οὐδὲν δέομαι λέγειν (5), καὶ αὐτὸς ἑαυτῷ. Τοῦτο γὰρ δὴ τὸ λαμπρότατον. Ἤισθετο γάρ, ὡς ἔοικε (6), τῆς ἰδίας ἀπειροκαλίας, καὶ ὄνομ' ἔθετο αὐτῇ διθύραμβον· ὃ νῦν ἂν ἠδέσθην ἐγὼ λέγειν, ἀληθὲς ὄν. Τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς διαλόγοις, ἰσχνοτάτοις οὖσι καὶ ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν αὐτοῖς, ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς, ὥστ' οὐδὲν ἔξω τοῦ εἰκότος ἔμελλε πείσεσθαι, σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς (7), ὧν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

Παραδείγματα δὲ τῆς τ' ἰσχνῆς καὶ τῆς ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων ποιήσομαι (8), ἐν ᾧ τοὺς ἐρωτικοὺς διατίθεται (9) λόγους ὁ Σωκράτης πρὸς ἕνα τῶν

---

(1) Inserui de meo τόδ'.

(2) Om. cod. P.

(3) Inverso ordine κομιδῇ βραχύ τι idem cod. P.

(4) De meo adieci particulam conditionalem, quae noto usu, quum ad infinitivum pertineat, iungitur cum verbo finito. Absorpta fuisse videtur terminatione vocabuli praecedentis.

(5) Hanc lectionem, quae teste Stephano reperitur in quibusdam codd. et auctore Reiskio in Paris., vulgata longe luculentiorem isti praeferre nullus dubitavi. Vulgo: ταῦτα γὰρ οἵ τε κατ' αὐτὸν γενόμενοι πάντες ἐπιτιμῶσιν, ὧν τὰ ὀνόματα οὐδὲν δεῖ με λέγειν. Iu qua scriptura tum alia offensioni sunt tum maxime istud: πάντες—ὧν τὰ ὀνόματα κτἑ., quo quid ineptius exputari possit non reperio. Idem Kruegerum video iudicasse. — Mox delevi articulum ante διθύραμβον. Cf. v. c. infra: ἀφ' ἧς αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα. Cod. P. τὸ διθύραμβον. Deinde non intelligo, quid sibi velint ista ἀληθὲς ὄν, ubi mallem μὴ ἀληθὲς ὂν=εἰ μὴ ἀληθὲς ἦν; ni plus vitii subesse suspicarer.

(6) ὡς ἔοικεν om. cod. P, et paullo ante δή.

(7) Vocabula ἅμα τοῖς ἀγαθοῖς aut interpolata sunt, aut transponenda ante τινὰ καί.

(8) Sic ope cod. Ambros. correxi vulgatam lectionem: παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων. Legitur nempe in eo codice sic: παραδείγμα (sic) δὲ τῆς ἰσχνῆς καὶ ὑψηλῆς et reliqua, ut edidi. Similiter alius codex, nisi quod recte exhibet παραδείγματα.

(9) διατέθειται, omissis vocabulis ὁ Σωκράτης, cod. Amb. et: διατέθειται ὁ Σωκράτης λόγους cod. P. Vide an sit scribendum: διατέθει-

γνωρίμων, Φαῖδρον, ἀφ' οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ βιβλίον. Ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν μὲν ὥραν ἔχει καὶ χαρίτων ἐστὶ μεστὰ τὰ πρῶτα ταυτί· »Ὦ φίλε Φαῖδρε; ποῖ δὴ καὶ πόθεν; ΦΑΙ. Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους. Συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον, καθήμενος ἐξ ἑωθινοῦ." — μέχρι τῆς ἀναγνώσεως τοῦ Λυσιακοῦ λόγου καὶ μετὰ τήν ἀνάγνωσιν ἕως τινός. Εἶθ', ὥσπερ ἐξ ἀέρος εὐδίου καὶ σταθεροῦ πολὺς ἄνεμος καταρραγείς, ταράττει τὸ καθαρὸν τῆς φράσεως εἰς ποιητικὴν ἐκφέρων ἀπειροκαλίαν, ἐνθένδ' ἀρξάμενος· »Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι εἴτε διὰ γένος τὸ Λιγύων μουσικὸν ταύτην ἔσχετε τὴν ἐπωνυμίαν, ξύμμοι λαβέσθε τοῦ μύθου." Ὅτι δὲ ψόφοι ταῦτ' ἔστι καὶ διθύραμβοι, κόμπον μὲν (1) ὀνομάτων πολύν, νοῦν δ' ὀλίγον ἔχοντες, αὐτὸς ἐρεῖ. Διεξιὼν γάρ, ἀφ' ἧστινος (2) αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα, καὶ τοῖσδ' ἐχρήσατο· »Ἡ γὰρ ἄνευ λόγου δόξης ἐπὶ τὸ ὀρθὸν ὁρμώσης κρατήσασ' ἐπιθυμία, πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους, καὶ ὑπ' αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρωμένως ῥωσθεῖσα, νικήσασ' ἀγωγῇ, ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη· ἀτάρ, ὦ φίλε Φαῖδρε, δοκῶ τι σοί, ὥσπερ ἐμαυτῷ, πεπονθέναι; ΦΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες, παρὰ τὸ εἰωθὸς εὔροιά τις σ' εἴληφεν. ΣΩ. Σιγῇ τοίνυν μου ἄκουε. Τῷ ὄντι γὰρ θεῖος ἔοικεν ὁ τόπος εἶναι, ὥστ', ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς. Τὰ νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων φθέγγομαι".

Ἐν τούτοις μὲν οὖν (3) τὸ μὲν πραγματικὸν οὐδαμῇ μεμ-

ται (nempe Plato) λόγους Σωκράτους πρός τινα τῶν γνωρίμων. Kruegerus omisit in sua editione vocabula ὁ Σωκράτης, non monito lectore. Ego retinui vulgatam lectionem, quamvis vix dubito verum esse, quod supra conieci. Mox Ambr. om. vocab.: ἐν γὰρ δὴ—διθυράμβων φθέγγομαι p. 764. 8 (ed. Reisk.)

(1) Inserui μέν de meo.

(2) Vulgo ἀφ' ἧς, quod correxi.

(3) Cod. Ambr. ἐν γὰρ τούτοις, quae sunt prima verba post lacunam. Prima autem verba, quae exciderant, fuere: ἐν γὰρ δὴ τῷ συγγράμματι κτέ., unde facile apparet erroris origo.

φομαι τἀνδρὸς, τῆς δὲ λέξεως τὸ (1) μόριον τὸ περὶ τὴν τροπικήν τε καὶ διθυραμβικὴν φράσιν ἐκπίπτον, ἐν ᾧ οὐ κρατεῖ τοῦ μετρίου· ἐπιτιμῶ τ' οὐχ ὡς τῶν τυχόντων τῳ, ἀλλ' ὡς ἀνδρὶ μεγάλῳ καὶ ἐγγὺς τῆς θείας ἐληλυθότι φύσεως, ὅτι τὸν ὄγκον τῆς ποιητικῆς κατασκευῆς εἰς (2) λόγους ἤγαγε φιλοσόφους, ζηλώσας τοὺς περὶ Γοργίαν, ὥστε καὶ διθυράμβοις τινὰ ποιεῖν ἐοικότα, καὶ μηδ' ἀποκρύπτεσθαι τοῦτο θἁμάρτημα, ἀλλ' ὁμολογεῖν. Καὶ σύγ' αὐτὸς, ὦ βέλτιστε Γναῖε (3), ὁμοίαν ἐμοὶ γνώμην περὶ τἀνδρὸς ἔχων φαίνει (4) δι' αὐτῆς γέ τοι τῆς ἐπιστολῆς, ἐν ᾗ (5) κατὰ λέξιν οὕτω γράφεις· »Ἐν μὲν γὰρ τοῖς ἑτέροις σχήμασι ῥᾴδιον πεσεῖν (6) μέσον τι ἐπαίνου καὶ μέμψεως· ἐν δὲ τῇ κατασκευῇ τὸ μὴ ἐπιτυχθὲν πάντῃ, ἀποτυγχάνεται. Διό μοι δοκεῖ τούτους τοὺς ἄνδρας οὐκ ἐκ τῶν ἐπικινδυνοτέρων οὐδ' ἐλαττόνων, ἀλλ' ἐκ τῶν πλειόνων (7) καὶ εὐτυχηθέντων ἐξετάζειν." Καὶ μετ' ὀλίγα πάλιν ἐπιλέγεις ταυτί· »Ἐγὼ δὲ, καίπερ ἔχων ἀπολογήσασθαι (8) ὑπὲρ ἁπάντων, ἢ τῶν γε πλείστων, οὐ τολμῶ σοι ἐναντία λέγειν, ἓν δὲ τοῦτο διισχυρίζομαι, ὅτι οὐκ ἔστι μεγάλων ἐπιτυχεῖν ἐν οὐδενὶ τρόπῳ, μὴ τοιαῦτα τολμῶντα καὶ παραβαλλόμενον, ἐν οἷς καὶ σφαλλεσθαί (9) ἐστιν ἀναγκαῖον." Οὐδὲν οὖν (10) διαφερόμεθα πρὸς ἀλλήλους· σύ τε γὰρ ὁμολογεῖς ἀναγκαῖον εἶναι τὸν ἐπιβαλλόμενον μεγάλοις καὶ σφάλλεσθαί ποτε, ἐγώ τέ φημι τῆς ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ παρακεκινδυνευμένης

---

(1) *τό* scripsi pro *τι*. Idem requiri vidit Kruegerus. Deinde reposui *ἐν ᾧ*, quod iungatur cum *τὸ μόριον*, pro *ἐν οἷς*. Possis quoque *ἐν ᾗ*, quod referendum foret ad *φράσιν*.

(2) Vulgo *καί*. Hoeschelius *ἐπί*. Rectius Kruegerus *εἰς*, quem vide ad h.l.

(3) *Γεμῖνε* est in Ambr.

(4) Vulgo *φαίνῃ*. Ego correxi.

(5) Codd. *ἐν οἷς*. Veram lectionem reperit Kruegerus, sed repertam abiecit. Mox cum eodem scripsi *ἐπιτυχθέν* pro *ἐπιτευχθέν*.

(6) Fortasse: *ῥᾷόν ἐστι φέρειν κτἑ.* i. e. *facilius est tolerare aliquid. medium inter laudem ac reprehensionem.* Ni homo Romanus, Latinorum potius quam Graecorum more, dixisse putandus est: *ῥᾷον πέσσειν μέσον τι κτἑ.* i. e. *facilius est concoquere aliquid* cet.?

(7) De coniectura scripsi *ἐπικινδυνοτέρων* et *πλειόνων* pro *ἐπικινδυνοτάτων* et *πλείστων*. Praeterea excidisse videtur *δεῖν*.

(8) *ἀπολογίσασθαι* Amb.

(9) Exciditne *ἐνίοτ'* vel *ποτ'*, ut mox recte et ordine scribitur: *ἀναγκαῖον— σφάλλεσθαί ποτε*?

(10) De coniectura mea inserui *οὖν*.

φράσεως ἐφιέμενον Πλάτωνα μὴ περὶ πάντα τὰ μέρη κατορθοῦν, πολλοστὴν μέντοι μοῖραν ἔχειν τῶν κατορθουμένων τὰ διαμαρτανόμενα ὑπ' αὐτοῦ. Καὶ καθ' ἓν τοῦτο Πλάτωνά φημι λείπεσθαι Δημοσθένους, ὅτι παρ' ᾧ μὲν ἐκπίπτει ποτὲ τὸ ὕψος τῆς λέξεως (1) εἰς τὸ κενὸν καὶ ἀηδὲς, παρ' ᾧ δ' οὐδέποτε, ἢ σπανίως γε κομιδῇ. Καὶ περὶ μὲν Πλάτωνος τοσαῦτα.

CAPUT III.

Περὶ δ' Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης μαθεῖν, τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω, καὶ γράψαι με περὶ αὐτῶν. (Ὃ δ') ἐβουλήθης, πεποίηκα κατὰ τοὺς πρὸς Δημήτριον ὑπομνηματισμοὺς περὶ μιμήσεως (2). Τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μιμήσεως ζήτησιν· ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ, ποιητάς τε καὶ φιλοσόφους καὶ (3) ἱστοριογράφους καὶ ῥήτορας· ὁ δὲ τρίτος, περὶ τοῦ (4) πῶς δεῖ μιμεῖσθαι· οὗτος (5) δ' ἀτελής. Ἐν δὲ τῷ δευτέρῳ περὶ Ἡροδότου τε καὶ Θουκυδίδου καὶ Ξενοφῶντος καὶ Φιλίστου καὶ Θεοπόμπου (τούτους γὰρ ἐκκρίνω (6) τοὺς ἄνδρας ὡς (7) εἰς μίμησιν ἐπιτηδειοτάτους) τάδε γράφω·

---

(1) Vocabula *τῶν λόγων* vulgo male redundant post *τῆς λέξεως*, quare ista delevi, monente iam Sylburgio. Deinde eodem iubente rescripsi *κενόν* (quod ipsum habet cod. Ambr.) pro *καινόν*, cuius patrocinium frustra suscepit Kruegerus. In praegressis (p. 760 ed. Reisk.) noster Platonis *φράσιν* dixerat *πλοῦτον ὀνομάτων ἐπιδεικνυμένην κενόν*, et de eodem argumento p. 763: *ὅτι δὲ ψόφοι ταῦτ' ἐστὶ καὶ διθύραμβοι κόμπον ὀνομάτων πολύν, νοῦν δ' ὀλίγον ἔχοντες, αὐτὸς ἐρεῖ.* Tandem ex mea coniectura edidi *ἀηδές* pro *ἀηθές* (Ambr. habet *ἀληθές*) collatis iis, quae leguntur p. 729: *καὶ γὰρ ἀηδεστέρα τῆς ἑτέρας κτἑ.* et p. 760: *σχήμασί τε ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν* (i. e. *fastidium*, *nauseam*). Ineptiret sanequam noster, si Platoni obiecisset, quae in laude potius quam in vituperio poni soleant.

(2) Vulgo: *αὐτῶν ἐβουλήθης πεποίηκα καὶ τοῦτο εἰς Δημήτριον ὑπομνηματισμὸν π. μ.*, in quibus nilquidquam variant codd. Reposui id, quod sensus postulare videbatur, mutatione lenissima. Reiskius: *ἐγὼ δὲ πάλαι ὃ ἐβουλήθης πεποίηκα συντιθεὶς τοὺς πρὸς κτἑ.*; Kruegerus expunxit *ἐβουλήθης*; Hoeschelius mavult: *πεποίηκα καὶ τοῦτ' ἐν τοῖς πρὸς κτἑ*; quod et mihi aliquando venit in mentem. Mox ridiculo errore codd., ut videntur, omnes: *τὴν περὶ τῆς ζητήσεως μίμησιν.* Correxit Sylburgius.

(3) *καί* addidi ex ingenio.

(4) Et hic et paulo ante vocabula *περὶ τοῦ* abesse malim.

(5) Sic Sylburgius recte coniecisse videtur pro *περὶ τούτου*. Nempe *περί* male repetitum erat e praegressis. Deinde *οὗτος* mutatum in *τούτου*.

(6) *ἐκκρίνων* Amb.

(7) De meo addidi *ὡς*. Idem iam Reiskium coniecisse video.

Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡροδότου καὶ Θουκυδίδου ταῦτα φρονῶ· Πρῶτον ὅ τι καὶ σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γράφουσι πάσας (1) ἱστορίας, ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις, τοῦθ' Ἡρόδοτος κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου.

Ἐκεῖνος μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν (2) πράξεων ἐξενήνοχεν ἱστορίαν, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων ἐξίτηλα γένηται, μήτε ἔργα (3) (μεγάλα τε καὶ θωυμαστὰ τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροισι ἀποδεχθέντα ἀκλεᾶ γένηται), καθάπερ (4) αὐτὸς εἴρηκε. Τὸ γὰρ αὐτὸ προοίμιόν τε [καὶ ἀρχὴ] καὶ τέλος (5) ἐστὶ τῆς ἱστορίας. Ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα γράφει καὶ τοῦτον οὔτε καλὸν οὔτ' εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι· εἰ δὲ μὴ, σιωπῇ καὶ λήθῃ παραδοθεὶς, ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. Ὅτι δὲ πονηρὰν εἴληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ. »Πόλεις τε γὰρ δι' αὐτὸν (6) ἐξερημωθῆναί φησιν Ἑλληνίδας πολλὰς, τὰς μὲν ὑπὸ βαρβάρων, τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγὰς καὶ φόνους (7) ἀνθρώπων, ὅσους οὔπω πρότερον γενέσθαι, σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους, καὶ ἄλλας πολλὰς συμφοράς." ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν (κακῶν) (8) μέλλοντας ἀκούειν. Ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δηλοῦσ' Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ τῆς τὰ οἰκτρὰ καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου

---

(1) πάσας inserit Ambr.; recte: *omne genus historiarum*. Paris. habere dicitur ἱστορίαν. Cf. cap. III: ἣν οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν κτὲ.

(2) Codd. βαρβάρων, quod correxit Schaeferus.

(3) Vulgo τὰ ἔργα. Articulum neque Ambros. agnoscit, neque Herodotus.

(4) Vulgo absurde καὶ ἅπερ. Correxit iam Sylburgius, male refutante Reiskio. Quae uncis inclusa sunt, addidi ex Herodoto, manifesto errore omissa a librario, cuius oculi a priore γένηται ad posterius aberraverint. Vocabula ἐξίτηλα γένηται omisit Amb. An scribis quoque tribuenda omissio voc. τῷ χρόνῳ?

(5) τέλος h.l. significat *finem* i. e. *consilium*, qua re non intellecta sciolus, nescio quis, ne scilicet oppositio deesset, de suo interposuit ista καὶ ἀρχὴ, quae uncis sepire non dubitavi.

(6) αὐτῶν Amb.

(7) φυγάδας καὶ φθόρους Amb. et P. mei, et teste Hudsonio, Par.

(8) Inserui κακῶν; quod Reiskius reperire occupavit. Kruegero idem vocabulum post ἀκούειν excidisse videtur.

κατὰ τὴν ἐκλογὴν τῆς ὑποθέσεως. Οὐδὲ γὰρ οὐδὲ τοῦτ' ἔνεστιν εἰπεῖν, ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφὴν, ἐπιστάμενος (μὲν ὄντ') (1) ἐκεῖνα καλλίω, βουλόμενος δὲ μὴ ταὔθ' (2) ἑτέροις γράφειν. Πᾶν γὰρ τοὐναντίον, ἐν τῷ προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα, κάλλιστα (3) καὶ θαυμασιώτατα τὰ καθ' αὐτὸν ἐπιτελεσθέντα φησὶν εἶναι καὶ φανερός ἐστι ταῦθ' ἑκὼν προελόμενος (4). Οὐ μὴν Ἡρόδοτός γε τοῦτ' ἐποίησεν, ἀλλὰ τῶν πρὸ αὐτοῦ συγγραφέων γενομένων Ἑλλανίκου τε καὶ Χάρωνος (5) τὴν αὐτὴν ὑπόθεσιν προεκδεδωκότων (6), οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὑτῷ (7) κρεῖττόν τι ἐξοίσειν· ὅπερ καὶ πεποίηκεν.

Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον γνῶναι, πόθεν τ' ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν δεί. Φαίνεται δὴ κἀν τούτῳ ὢν Θουκυδίδου πολὺ Ἡρόδοτος φρονιμώτερος, ὃς (8) ἄρχεταί τ' ἀφ' ἧς αἰτίας ἤρξαντο πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι καὶ προελθὼν εἰς τὴν τῶν βαρβάρων (9) κόλασιν καὶ τιμωρίαν λήγει (10). Ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο, ἀφ' οὗ ἤρξατο κακῶς (11) πράττειν τὸ Ἑλληνικόν· ὅπερ Ἕλλην' ὄντα [καὶ Ἀθηναῖον] οὐκ ἔδει ποιεῖν· καὶ ταῦτ' οὐ τῶν ἀπερριμμένων (12) ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον Ἀθηναῖοι, στρατηγιῶν τε καὶ τῶν ἄλλων τιμῶν ἀξιοῦντες·

---

(1) Inserui de meo μὲν ὄντα, flagitante grammatica.

(2) μετὰ ταῦτα Par.

(3) μάλιστα Par. et P meus, unde Kruegerus suspicatur μέγιστα. Vulgatam lectionem satis tuetur praecedens καλλίω.

(4) Προελόμενος dedi pro verbo simplici e Reiskii coniectura, quam probat quoque Kruegerus.

(5) Ita iam Stephanus correxit pro Χαίρωνος.

(6) προσεκδεδωκότος Amb.

(7) αὑτῷ Amb., unde reposui quod hac in re Graecum est: ἐπιστευσεν αὑτῷ κτὲ. Plato *Gorg*. 524 a. οὐ πιστεύεις σαυτῷ οἷός τ' ἂν εἶναι ταῦθ' οὕτω διελέσθαι, et sic passim. Vulgo legitur αὐτῶν. Non tamen mihi displiceret: ἐπίστευσεν αὑτῷ τούτων κρεῖττον κτέ. Κρεῖττον autem dedi pro κρεῖσσον, quod ita solet Dionysius.

(8) Abest a Codd. Primus inseruit Reiskius. Ipse paulo ante post τούτῳ addidi ὢν. Simul mihi praeplaceret hic verborum ordo: φρονιμώτερος Ἡροδότος.

(9) Adscripsi articulum, quem desiderare recte monet Kruegerus.

(10) Vulgo male distinguitur post προελθών. Frustra Reiskius tentavit locum sanissimum.

(11) Absurde vulgo καλῶς. Quod primus Reiskius correxit. Ἀφ' οὗ pro ἀφ ἧς debetur Kruegero. Mox expunxi turpe emblema καὶ Ἀθηναῖον, quod verum quidem est, sed h. l. nihil ad rem.

(12) ἔτι εἰρημένων Amb. et ceteri, ut videtur, codd. omnes. Quod vulgatur, palmaria est Reiskii emendatio.

καὶ οὕτω (1) γε φθονερῶς, ὥστε καὶ τῇ πόλει τῇ ἑαυτοῦ τὰς [φανερὰς] αἰτίας τοῦ πολέμου περιάπτειν, ἑτέραις ἔχοντα πολλαῖς ἀφορμαῖς περιάψαι τὰς αἰτίας. Καίτοι ἄρξασθαί γ' ἔδει τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊκῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων, ἃ μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξαν· ὧν ὕστερον κἀν ἀνεπιτηδείῳ (2) τόπῳ μνήμην ἐποιήσατο φαύλως πως κἀξ ἐπιδρομῆς· διελθόντα δὲ ταῦτα μετὰ πολλῆς εὐνοίας, ὡς ἄνδρα φιλόπολιν, ἔπειτ' ἐπενεγκεῖν, ὅτι τούτων (3) φθόνῳ καὶ δέει προαχθέντες (4) Λακεδαιμόνιοι, προφάσεις ὑποθέντες ἑτέρας, ἦλθον ἐπὶ τὸν πόλεμον· καὶ τότε δὴ (5) λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ Μεγαρέων ψήφισμα, καὶ εἴ τι ἄλλο τοιοῦτον (6) ἐβούλετο. Τὸ δὲ τέλος ἔτι πλείονος ἁμαρτίας ἐστὶ πλῆρες (7)· καίπερ γὰρ λέγων, ὅτι παντὶ τῷ πολέμῳ παρεγένετο, καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων καὶ Πελοποννησίων (8), ἣ συνέβη κατ' ἔτος εἰκοστὸν καὶ δεύτερον. Κρεῖττον δ' ἂν (9) ἦν, διεξελθόντα πάντα (10) τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην (11), τὴν κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς, ἀφ' ἧς (12) ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἐκομίσατο.

---

(1) Sic Reiskius quoque pro vulgato *οὔτε*. Qui *οὔτι* vel *οὗτοι* suspicantur, quid iis cogitent, non video. Praeterea de coniectura mea reposui *φθονερῶς* pro *φανερῶς*, quod h. l. plane absurdum est. Sequens autem *φανερὰς* exitio fuerat vocabulo, quod e longo exsilio revocavi. Nec tamen ipsam vocem *φανεράς* a Dionysio additum esse, planissime assentior Reiskio, quamvis obnitente Kruegero. In ipso fine huius periodi praetulerim: *περιάψαι αὐτάς*. Mox, mutato *καί* in *καίτοι*, de meo post *ἄρξασθαί γε* inserui *ἔδει*, quod post longam parenthesin e praegressis subintelligi nequit. Nam si omiseris, hic infinitivus necessario suspensus erit a vocula *ὥστε*, quo facto sententia nascitur plane absurda. Si quis autem *χρῆν* praetulerit, non intercedam.

(2) Vulgo *ἐπιτηδείῳ*, quod correxi praeeunte Kruegero.

(3) *τούτῳ* Par.

(4) Vulgo male *προελθόντες*. Quod reposui, coniecit iam Reiskius. Mox cod. Par. et meus cod. P *ἑτέροις*.

(5) Addidi *δή* de meo.

(6) Vulgo post *τοιοῦτο* male redundat *λέγειν*, quod delevi.

(7) Vulgo: *τὰ δὲ τέλη πλείονος ἁμαρτίας πλήρη*. Quae verba edidi, ut corrigenda esse perspexit Reiskius.

(8) Tria ultima vocabula suspecta mihi sunt.

(9) Inserui *ἄν*.

(10) Ita Amb. Vulgo *τὰ πάντα*. Illud praetuli ob praegressa: *πάντα δηλώσειν ὑποσχόμενος*.

(11) *κεχαρμένην* in marg. Paris. teste Hudsonio.

(12) Vulgo *ἀφ' ὧν*. Quod dedi, debetur Reiskio.

Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ (ἔργον σκοπεῖν) (1), τίνα τε δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα, καὶ τίνα παραλιπεῖν. Δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θουκυδίδης. Συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος ἔχουσα πολὺ (2) διήγησις, ἂν μὲν ἀναπαύσεις τινὰς λαμβάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν, ἐὰν δ' ἐπὶ τῶν αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μάλιστ' (3) ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποικίλην ἐβουλήθη ποιῆσαι τὴν γραφήν, Ὁμήρου ζηλωτὴς γενόμενος. Καὶ γὰρ τὸ βιβλίον ἢν αὐτοῦ λάβωμεν, μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα, καὶ ἀεὶ τὸ πλεῖον ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα [καί τινας] (4) ἀπνευστὶ διεξέρχεται, μαχὰς ἐπὶ μάχαις καὶ παρασκευὰς ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς, ὥστε μοχθεῖν τὴν διάνοιαν τῶν ἀκροωμένων. Κόρον δ' ἔχει, φησὶν ὁ Πίνδαρος, καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' ἀφροδίσια. Ὃ δὲ δὴ λέγω, κἀκεῖνος ἐνεθυμήθη (5), ὡς ἡδὺ χρῆμ' ἐν ἱστορίαις

---

(1) Ex ingenio supplevi duo vocabula omnino necessaria a festinantibus scribis omissa. *Σκοπεῖν* deesse vidit iam Reiskius, *ἔργον* a tali sententia abesse posse male opinatus. Nempe recte quidem et ordine dicitur: *ἔστιν ἀνδρὸς ἱστορικοῦ*, non vero *δεύτερον* s. *τριτόν ἐστιν κτέ*. Meliora eum docere potuerat, quem ipse citat, locus p. 769, 10. Mox vide an scribendum sit *καὶ τίν' αὖ παραλιπεῖν*. In praegressis autem praetulerim: *εἰς τὴν γραφήν*.

(2) Ita corrigenda mihi videbatur inepta codicum scriptura: *ἔχουσα ἀπὸ λόγου διήγησις*.

(3) Fortasse: *κἂν τἄλλα μάλιστ' ἐπιτυγχάνηται*.

(4) Multum in hoc loco corrigendo desudarunt viri docti. Speciem habet, quod Reisk. coniecit: *καὶ καινὰς ἀεί τινας ἀπνευστὶ κτέ*; nec multo diversum est, quod mihi venerat in mentem: *καὶ καινὰς ἀεὶ ἀπνευστί*. Uterque tamen nostrum fallebatur; nam, si alterutro modo rescripseris, et tautologia locus laborabit, et, quod vel gravius est, perplexus erit atque impeditus participio isto *συντιθείς*. Ne multa. Vocabula *καί τινας* sunt varia lectio, leviter corrupta ex *καί τινα*, quae olim adscripta fuerit ad *ἕνα* vel superscripta, mox vero, ut fit, textui se insinuarit. Constat autem vocabulorum *εἷς* et *τις* perpetuam esse in libris veteribus confusionem. Expunxi igitur utrumque vocabulum, quo facto omnia iam plana fiunt apteque decurrunt. Mox delevi particulam *μέν* post *μοχθεῖν*, praeeunte Kruegero. Deinde Pindarica verba scripsi, ut eduntur in Nemëis Od. VII vs. 78, utque Dionysium dedisse apparet e. cod. Paris. et meo P: *καὶ τὰ τερπίθεα* (sic) *ἀφροδίσια* exhibentibus. Vulgo: *καὶ τὰ τερπνὰ ἀφροδίσια*. Amb. hab. *τερπῖθεα* (sic), quod etiam propius ad veram lectionem accedit.

(5) Codd.: *ἤδη δ' ἐγὼ κἀκεῖνο ἐνεθυμήθην*, sine ulla varietate. Duce sententia, facili medicina reposui, quae vides: *ὃ δὲ δὴ λέγω, κἀκεῖνος ἐνεθυμήθη*. Kruegero locus videbatur quodammodo scilicet confusus. — Mox scripsi *ποικιλία* pro *ποικίλον*, ex altera Reiskii coniectura. Idem minus apte *τὸ ποικίλον* suspicatur. Ceterum notum est proverbium: *μεταβολὴ πάντων γλυκύ*. Fortasse legendum:

γραφῆς μεταβολὴ καὶ ποικιλία· καὶ τοῦτ' ἐν δύ' ἢ τρισὶν τόποις ἐποίησεν, ἐπί τε τῆς 'Οδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας ἐγένετο μεγάλη, κἀπὶ τῶν ἐν Σικελίᾳ πόλεων.

Μετὰ τοῦτ' ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. Πῶς οὖν ἑκάτερος διαιρεῖταί τε καὶ (1) τάττει τὰ λεγόμενα; Θουκυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος δὲ ταῖς περιοχαῖς τῶν πραγμάτων· καὶ γίγνεται Θουκυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ κατὰ ταὐτὸ θέρος ἢ κατὰ τὸν αὐτὸν χειμῶνα (2) γιγνομένων ἐν διαφόροις, ὡς εἰκὸς, τόποις, ἡμιτελεῖς τὰς πρώτας πράξεις καταλιπὼν, ἑτέρων ἅπτεται. [τῶν κατὰ τὸ αὐτὸ θέρος ἢ χειμῶνα γιγνομένων] Πλανώμεθα δὴ, καθάπερ εἰκὸς, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν, ταραττομένης τῆς διανοίας. Ἡρόδοτος δ' ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ μέχρι τῆς Κροίσου καταβὰς, ἐπὶ Κῦρον εὐθέως, τὸν καταλύσαντα τὴν Κροίσου ἀρχὴν, μεταβαίνει, Αἰγυπτίων τ' ἄρχεται διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δ' ὡς ἐπιζητούμενα προσαναλαμβάνων (3), τὰ δ' ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων καὶ βαρβάρων ἔτεσιν ὁμοῦ διακοσίοις καὶ εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις, καὶ παραγράψας (4) τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν, οὐ διέσπασε τὴν διήγησιν, ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ (5) τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.

ἐν ἱστορίας γραφῇ, vel cum Kruegero ἐν ἱστορικαῖς γραφαῖς. Minus placet, quod Reiskius coniecit: ἐν ἱστορίαις καὶ γραφαῖς. In re incertiore nihil novavi.

(1) Vulgo διαιρεῖ τε καί. Cod. Amb. et P: διαιρεῖται καί; unde leniter correxi id, quod edidi. Praeterea malim διατάττει. In praegressis contra rectissime legitur τάξαι, quia ibi additur: ἕκαστον ἐν ᾧ δεῖ τόπῳ.

(2) Vulgo καὶ χειμῶνα. Addidi de coniectura, quae abesse non posse videbantur. Mox uncinis circumsepsi turpe interpretamentum, quod ipsa orationis spurcitie arguitur. Variant praeterea in eo codd., nam alii habent. quod posui in textu; Ambros. et codex P meus: κατὰ θέος ἢ τὸν αὐτὸν χειμῶνα. Paris. autem, ut traditur, κατὰ θέρος ἢ τὴν αὐτὴν (sic) χειμῶνα.

(3) Vocabula: τὰ δ' ὡς — προσαναλαμβάνων addidi ex. Ambr.

(4) Ita codd. Cogitavi de reponendo παρεγγράψας; sed gravius peccatum esse mihi persuadeo. Reiskius suspicatur: καὶ περιγράψας τῇ Ξέρξου φυγῇ τὴν ἱστορίαν. Her. VIII, 100 sqq. At multa, quae post fugam Xerxis locum habuerunt, narrari ab Herodoto, res est notissima.

(5) Vulgo distinguitur post τῷ μὲν et τῷ δέ, ex mea quidem sententia minus recte. Mox malim: οὐδὲν ἐοικυίας ἀλλήλαις ὑποθέσεις.

Μιᾶς δ' ἰδέας ἔτ' ἐπιμνησθήσομαι (1) πραγματικῆς, ἣν οὐδεμιᾶς τῶν προειρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ᾗ κέχρηται πρὸς τὰ πράγματα, περὶ ὧν γράφει. Ἡ μὲν οὖν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου (2) αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. Τὰ μὲν γὰρ ἁμαρτήματα (3) ἐπεξέρχεται καὶ μάλ' ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχωρηκότων ἢ (4) καθάπαξ οὐδὲ μέμνηται, ἢ ὥσπερ ἠναγκασμένος (5). Καὶ κατὰ μὲν τὸν πραγματικὸν τύπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. Ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.

Πρώτη τῶν ἀρετῶν γένοιτ' ἂν, ἧς χωρὶς οὐδὲν τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελος. τίς; ἡ (6) καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος. Ταύτην ἀκριβοῦσιν ἀμφότεροι. Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος (7) κανών· Θουκυδίδης τε τῆς Ἀτθίδος + + + + (8). Τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· Ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. Καίτοι λέγοι τις ἂν, ὡς μετὰ μὲν (9) τοῦ σαφοῦς ἐξεταζόμενον ἡδὺ φαίνεται τὸ βραχύ, εἰ δ' ἀπολείποιτο τούτου, πικρόν. Ἀλλὰ μηδέν γ' (ἧττων) ἔστω

---

(1) Codd. ἐπιμνησθήσομαι. Sylburg. ἔτι μνησθήσομαι. Ego malui ἔτ' ἐπιμνησθήσομαι. Mox post ἅπασιν fortasse excidit ἐστι. Certius est, requiri pro μὲν formulam μὲν οὖν, quam Reiskio obsecutus restitui.

(2) Libri addunt διάθεσις, quod delevi.

(3) Fortasse excidit αὐτῆς.

(4) Addidi ἢ invitis codd., et οὐδέ dedi pro οὐ.

(5) Ita scribendum esse pro ἠναγκασμένως non fugit Reiskium. Kruegerus autem multos, quibus vulgatam lectionem tueatur, locos affert partim corruptos partim alienissimos. Mox pro τύπον quidam codd. τοῦτον habent.

(6) τίς ἡ; ἡ Paris., unde Kruegerus, quem vide, ad h. l., τίς ἢ ἡ. Fortasse, quae est simplicissima ratio, reponendum: ἧς χωρὶς οὐδὲν — ὄφελός ἐστιν, ἡ καθαρὰ — διάλεκτος.

(7) ἐστι additum malim.

(8) Secunda hic desideratur *dicendi* virtus, quam fuisse τὸ κυρίαις καὶ κοιναῖς λέξεσι χρῆσθαι (cll. p. 455 v. ult., p. 482 v. 2 et p. 537 vs. pen.) recte animadvertit Sylburgius. Dubium autem non est, quin hac virtute Herodotum superiorem esse dixerit noster. In Cod. Ambr. ad voculam τι (sic habet pro τίς) in praegressis adscriptum vidi in margine λείπει; verum non illic, sed hic, lacunam statuendam esse, vix est quod dicam.

(9) μέν post μετά inserui de meo; et mox praeëunte Kruegero, post πρώτη expunxi μετά.

παρὰ τοῦτο (1). Ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη τῶν ἐπιθέτων ἀρετῶν. Ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. Μετὰ ταύτην συνίσταται [τὴν ἀρετὴν] ἡ τῶν ἠθῶν τε καὶ παθῶν μίμησις. Διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς. Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τὰ ἤθη (2) παραστῆσαι δεινότερος. Μετὰ ταῦθ' αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί. Ἶσοι κἀν ταύταις οἱ συγγραφεῖς. Ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως (3) περιέχουσαι. Κρείττων ἐν (μὲν) (4) ταύταις Ἡροδότου Θουκυδίδης, ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. Τῆς δὲ φράσεως τῶν ὀνομάτων (5) τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης. [ὁμοειδὴς πᾶς ὢν] (6) Ἐν λόγοις ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον. Ταύτην (7) Ἡρόδοτος ἀκριβοῖ μᾶλλον ἢ Θουκυδίδης. Ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι κἀν ταῖς δημηγορίαις μᾶλλον ἢ 'ν (8) ταῖς διηγήσεσιν. + + + + (9) Ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ

(1) ἀλλὰ—τοῦτο. De meo inserui vocabula γ' ἧττων ante ἔστω, ut sensus sat commodus nascatur hicce: *Sed nihil saltem inferior sit propterea* (Herodoto Thucydides). Paulo ante dixerat brevitate hunc illum superare, addita tamen ea restrictione, ut Thucydidem subinde obscuriorem esse dicat. Postquam haec scripseram vidi, non multum a mea ratione discrepare Kruegerum, qui etiam ἧττων vel ἐλάττων desiderari moneat. Recte tamen me insuper addidisse particulam γε, nullus dubito. Mox absurde συνίσταται vertunt *constituitur*, dum h. l. significat *commendatur*. Vocabula autem τὴν ἀρετήν inclusi; nam mala manu addita esse ipso loco arguuntur.

(2) Vulgo τὰ γ' ἤθη. Delevi particulam, cuius h. l. vis nulla est.

(3) Kruegeri exemplo delevi interpretamentum ἀρεταί, quod codd. habent post voc. τῆς φράσεως.

(4) μέν addidi sine codd.

(5) Reiskius iure opinor, quidquid dicat Kruegerus, offendens in tautologia, expungenda putat vocabula τῶν ὀνομάτων. Mihi potius τῆς φράσεως delendum videtur, quippe repetitum e superiore periodo. Quod aliquatenus confirmat codex P, qui δέ omittit post τῆς. Noluit autem Dionysius bis eodem vocabulo uti, quare nunc τῶν ὀνομάτων appellat, quod modo τῆς φράσεως dixerat. Repudio enim nunc, quod aliquando mihi venit in mentem: τῆς δ' ἐκφράσεως τῶν νοημάτων. Nec magis veram puto Reiskii suspicionem: τῆς δὲ φράσεως καὶ τῶν ὀνομάτων.

(6) Expunxi importunum emblema, petitum e sqq. Idem iam vidit Kruegerus.

(7) Delevi, qui vulgo adscribitur, articulum.

(8) Ita rescripsi pro ἤ.

(9) Posui signa lacunae; nam ea, quae sequuntur, cum praegressis non satis cohaerere, propalam est. Sensum autem eorum, quae interciderint, hunc fuisse

τἀνθυμήματ' αὐτοῦ μάλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. Ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστ' ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. Ἀπόχρη ταῦτ' εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων λέγεσθαι, περὶ ὧν (1) ἕτερος ἔσται καιρός (2).

CAPUT IV.

Ξενοφῶν δὲ καὶ Φίλιστος, οἱ τούτοις ἐπακμάσαντες, οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. Πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προσηκούσας, τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος, καὶ τὴν Ἀνάβασιν τοῦ νεωτέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώμιον ἔχουσαν (3) τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ τρίτην ἔτι τὴν Ἑλληνικὴν ἱστορίαν, ἣν (4) κατέλιπεν ἀτελῆ Θουκυδίδης, καὶ ἐν ᾗ καταλύονταί θ' οἱ τριάκοντα, καὶ τὰ τείχη τῶν Ἀθηνῶν (5), ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίσταται.

Οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι, ζηλω-

puto: *Thucydidem superare sententiarum tum ubertate tum gravitate scriptorem Halicarnassensem.* Nam sic demum rectissime sequitur, Demosthenem hac in re imitandum sibi proposuisse filium Olori. Nec sanequam sine magna iniustitiae suspicione illud iudicium noster omittere potuisset. Cf. cap. V med. de Philisto: τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐνθυμημάτων κατὰ πολὺ ὑστερεῖ. Sensit difficultatem Reiskius.

(1) Vulgo additur καί, quod omisi cum Amb.

(2) Nempe in libello: περὶ τῶν Θουκυδίδου ἰδιωμάτων.

(3) Praetulerim περιέχουσαν.

(4) Vulgo τὴν Ἑλληνικὴν καὶ ἥν, quae de coniectura mutavi. Idem quamvis dubitanter proposuit Kruegerus. Deinde καί transposui post Θουκυδίδης.

(5) Sic corrigenda mihi visa est codicum lectio Ἀθηναίων. Mox pro ἀνίστανται reposui ἀνίσταται. — Notatu dignum est, in hac operum Xenophontis historicorum enumeratione nullam fieri *vitae Agesilai* mentionem; unde, opinor, non parum confirmatur sententia eorum, qui ab ipso Xenophonte istum libellum compositum esse negent.

τὰς Ἡροδότου γενόμενος, ἀλλὰ καὶ τῆς οἰκονομίας. Ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται, καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε· μεμέρικέ τε καλῶς καὶ διατέταχε (1) καὶ πεποίκιλκε τὴν γραφήν· ἦθός τ' ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετὲς, ἁπάσαις τε συλλήβδην κεκοσμημένον ἀρεταῖς. Καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος.

Ὁ δὲ λεκτικὸς πῆ μὲν ὅμοιος τῷ (2) Ἡροδότου, πῆ δ' ἐνδεέστερος. Καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς καὶ σαφὴς, καθάπερ ἐκεῖνος. Ἐκλέγει δ' ὀνόματα συνηθῆ τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ συντίθησιν αὐτὰ (3) ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ ἧττον Ἡροδότου. Ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον πλάσμα ἱστορικὸν ἰδίως Ἡρόδοτος ἔχει (4). Οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ κἂν ποτε διεγεῖραι βουληθῇ (5) τὴν φράσιν, ὀλίγον ἐμπνεύσας, ὥσπερ ἀπόγειος αὔρα, ταχέως σβέννυται. Μικρότερος γὰρ (6) γίγνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος, καὶ (7) οὐχ, ὡς Ἡρόδοτος, ἐφάπτεται τῶν προσώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

CAPUT V.

Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον ἂν (8) δόξειεν ἐοικέναι, καὶ

---

(1) Sic scripsi de coniectura pro verbo simplici.
(2) Addidi articulum ex ingenio.
(3) *πάντα* Paris.
(4) Scripsi haec, ut voluit Reiskius, transposito *ἰδίως*, quod in codd. legitur ante *πλάσμα*. E cod. Paris marg. memoratur coniectura *ἴσ. Ἡρόδοτος μεῖζον ἔχει.*
(5) Vulgo *βουληθείη* soloece.
(6) *δέ* suspicatur Sylburgius pro *γάρ*. Ego malui *μικρότερος* scribere cum Kruegero pro *μακρότερος*. Non tamen diffiteor, quia *μικρότης* in rerum scriptore iam per se in vitio poni soleat, minus recte dictum videri posse: *μικρότερος—τοῦ δέοντος καὶ τοῦ πρέποντος.* Mox de Philisto: *μικρός τε περὶ πᾶσαν ἰδέαν ἐστι καὶ ἀτελής.* *De vett. Script. cens.*, p. 426: *ὕψους δὲ καὶ μεγαλοπρεπείας καθόλου τοῦ ἱστορικοῦ πλάσματος (Ξενοφῶν) οὐκ ἐπέτυχεν.* Utrumque locum laudat Kruegerus.
(7) *καί* om. Amb.
(8) Addidi particulam *ἄν*, invitis codd.

κατ' ἐκεῖνον (1) κοσμεῖσθαι τὸν χαρακτῆρα. Οὐ γὰρ (2) ὑπόθεσιν εἴληφε πολυωφελῆ καὶ κοινὴν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλὰ μίαν καὶ ταύτην τοπικήν· διῄρηκε δ' αὐτὴν εἰς γραφὰς δύο, περὶ Σικελίας μὲν τὴν προτέραν ἐπιγράφων (3), περὶ Διονυσίου δὲ τὴν ὑστέραν. Ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ τέλους τῆς Σικελικῆς. Τάξιν δ' οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυσπαρακολούθητον οὐχ ἧττον (4) τῆς Θουκυδίδου. Καὶ πράγματ' ἔξωθεν οὐ βούλεται παραλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ' ἔστιν ὁμοειδής. Ἦθος δὲ κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. Τῆς δὲ λέξεως, ᾗ Θουκυδίδης κέχρηται, τὸ μὲν σημειῶδες καὶ περίεργον πέφευγε, τὸ δὲ στρογγύλον καὶ πικρὸν καὶ ἐνθυμηματικὸν ἀπομέμακται (5). Τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐνθυμημάτων παρὰ πολὺ ὑστερεῖ· οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς. Ἡ μὲν γὰρ πλήρης σχημάτων (6), ἡ δὲ Φιλίστου φράσις ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι· καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ' αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σικελίας· »Συ-

---

(1) Frustra Goellerus coniecit: *κατ' ἐκείνου* pro *κατ' ἐκεῖνον*, quod ea tamen ratione, qua tuetur Kruegerus, defendi nequit. Nempe male iungit *κατ' ἐκεῖνον τὸν χαρακτῆρα.* Verborum enim ordo hic est: *κοσμεῖσθαι τὸν χαρακτῆρα κατ' ἐκεῖνον*, i. e. *κατὰ Θουκυδίδην.* Si scripsisset *ἐκείνου*, debuisset *κατὰ τὸν ἐκείνου κτέ.*
(2) Vulgo *οὔτε γάρ*, quod correxi. In marg. Paris. *ἴσ. οὔτε γὰρ μόνον.... ἀλλὰ καὶ μίαν κτέ.* Quae infelix sanequam coniectura est. Mox *οὐδέ* de meo inserui ante *Θουκυδίδης*, quod Kruegerum quoque video proposuisse.
(3) Scripsi *γραφάς* pro *ἐπιγραφάς* (quod labem contraxit e sequenti *ἐπιγράφων*). In eandem suspicionem incidit Krugerus, sed male eam quamvis luculentissimam ipse repudiavit. Ita demum erit, quod mox cogitetur ad *τῆς Σικελικῆς.*
(4) Recepi Kruegeri coniecturam *οὐχ ἧσσον* pro codicum scriptura *χεῖρον*; nisi quod de more nostri duplex *ττ* praetuli. Reiskius *ἔτι χεῖρον* suspicatur, quod mihi quoque venit in mentem. Sed illud verius esse iudico. Mox pro *πρᾶγμα* scripsi *πράγματ'*; quamquam fieri potest, ut pro *οὐ* olim lectum fuerit *οὐδέν*: verum illud, ut lenius, praetuli. Denique a Sylburgio gratus accepi *παραλαμβάνειν* pro *περιλαμβάνειν.* Tandem *ἦθος δέ* pro *ἦθός τε* requiri arbitratus sum.
(5) Auctore Sylburgio pro *ᾗ μέν* dedi *τὸ μέν* et pro *πέφυκε πέφευγε.* Eundem tamen sequi nolui pro *μέμικται* leniter sane corrigentem *μεμίμηται*, quum e libello de Vett. Script. Cens. p. 427, 9, quem ipse conferri iussit, multo evidentius reponere liceret *ἀπομέμακται.* Kruegerum ex eodem loco *ἐκμέμακται* rescripsisse, nunc video. Mox pro *κατὰ πολὺ ὑστερεῖ* reposui, quod Graecum est.
(6) Omisi vocabula: *καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν*, quippe quae, ut iam olim observatum est, cum reliquis pessime cohaereant.

ρακόσιοι (1) δὲ παραλαβόντες Μεγαρεῖς καὶ Ἐνναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους, πλὴν Γελῴων, ἀθροίσαντες (Γελῷοι δὲ Συρακοσίοις (2) οὐκ ἔφασαν πολεμήσειν) Συρακόσιοι δὲ πυνθανόμενοι Καμαριναίους τὸν Ὑρμινὸν διαβάντας ...." (3). Ταῦτα δ' ἀηδῆ πάνυ ὄντ' ἐμοὶ φαίνεται. Μικρὸς δὲ περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ ἀτελὴς, ἐάν τε πολιορκίας διηγῆται, ἐάν τ' οἰκισμοὺς, ἐάν τ' ἐπαίνους, ἐάν τε ψόγους διαπορεύηται· ἀλλ' οὐδὲ τοῖς μεγέθεσι τῶν ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ψοφοδεῶς αὐτοὺς δημηγοροῦντας καὶ ἐλλείποντας δυνάμεως κατὰ τὰς προαιρέσεις ὁμοίως ἅπαντας ποιεῖ (4). Εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. Πρὸς δὲ τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

CAPUT VI.

Θεόπομπος δ' ὁ Χῖος (5), ἐπιφανέστατος πάντων τῶν Ἰσοκράτους μαθητῶν γενόμενος, καὶ πολλοὺς μὲν πανηγυρικοὺς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους, ἐπιστολάς τε τὰς Ἀρχαϊκὰς ἐπιγραφομένας (6) καὶ ὑποθηκὰς ἄλλας,

(1) Ita recte Amb. hic et in sqq. Vulgo Συρακούσιοι.

(2) Cum Stephano ita lego pro Συρακουσίους.

(3) Philisti fragmentum interpunxi, quemadmodum praeivit Mullerus in Fragm. Hist. Gr. I, p. 186.

(4) Codd. ἀλλὰ ψοφοδεεῖς καὶ τούς. Expuncto ἀλλὰ, quod male repetitum e praecedentibus, rescripsi de coniectura, quae vides. Sequentia vulgo scribuntur in hunc modum: δημηγοροῦντας καταλείπειν τὰς δυνάμεις καὶ τὰς προαιρέσεις. Sensus loci a me correcti hic est: *Sed ne virorum quidem dignitate accommodatas fingens orationes timide eos facit concionantes et in iis, quae persuadere aliis velint, deficientes facultate dicendi.* Fuit quoque, quum corrigendum suspicarer: ψοφοδεεῖς τοὺς δημηγοροῦντας καὶ ταπεινοὺς τάς τε δυνάμεις καὶ τὰς προαιρέσεις ὁμοίως ἅπαντας ποιεῖ. Cf. locum supra laud. p. 427, 12: μικρὸς δ' ἐστι καὶ ταπεινὸς κτέ. Praetuli tamen, quia aliquanto lenior, illam corrigendi rationem.

(5) Omnino cf., quae Kruegerus ad h. l. disputat. Non agnoscunt codd. articulum h. l. me iudice plane necessarium. Similiter dedi πάντων τῶν pro πάντων.

(6) Ita Amb. meus, uti iam olim vere coniecerat Sylburgius. Quod autem ad ἀρχαϊκάς attinet, id quamvis fortasse corruptum, tangere ausus non sum. Nam neque quorundam librorum scriptura (inter quos libros est P meus) Ἀχαϊκάς extra dubitationem est posita, neque, quod probabile sit, reperio.

λόγου δ' ἀξίαν ἱστορίαν πεπραγματευμένος, ἄξιός ἐστιν ἐπαινεῖσθαι, πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν· καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα, ἡ δὲ τὰ Φιλίππῳ πεπραγμένα· ἔπειτα δὲ τῆς οἰκονομίας· ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς· μάλιστα δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν· δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραψε (1), πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς (2) δ' εἰς ὁμιλίαν ἐλθὼν (3) ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς καὶ (4) δημαγωγοῖς τε καὶ φιλοσόφοις διὰ τὴν συγγραφήν· οὐ γὰρ ὥσπερ τινὲς πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν (5) τῆς ἱστορίας ἐποιήσατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. Γνοίη δ' ἄν τις αὐτοῦ τὸν πόνον, ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. Καὶ γὰρ καὶ ἐθνῶν εἴρηκεν οἰκισμοὺς καὶ πόλεων κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τόπων (6) ἰδιώματα δεδήλωκε, κεἴ τι θαυμαστὸν ἢ παράδοξον ἑκάστη γῆ καὶ θάλαττα φέρει, συμπεριείληφε (7) τῇ πραγματείᾳ. Καὶ μηδεὶς ὑπολάβῃ, ψυχαγωγίαν ταῦτ' εἶναι μόνον· οὐ γὰρ οὕτως ἔχει· ἀλλὰ πᾶσαν, ὡς ἔπος εἰπεῖν, ὠφέλειαν περιέχει (8).

Ἵνα δὲ πάντ' ἀφῶ τἄλλα, τίς οὐχ ὁμολογήσει, τοῖς ἀσκοῦσι (9) τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον εἶναι, πολλὰ

Ceterum cf. Theopompi Chii fragmenta, cet. R. H. Eyssonii Wichersii, Lugd. Bat. 1829, p. 31 sqq. Mox post λόγου inserui particulam δέ. Praeterea ἐστιν addidi post ἄξιος, et δέ post ἔπειτα, quia praecessit πρῶτον μέν.

(1) Quid haec sibi velint, non satis intelligo. Num forte: δ. γ. ἐ. εἰ καὶ μὴ συνέγραψε πλεῖστα, πλείστην κτέ.?

(2) πολλήν cod. Paris.

(3) Malim ἐληλυθώς ob praecedentia.

(4) Inserui καί de coniectura.

(5) Vocabula: οὐ γὰρ—ἀναγραφήν accesserunt ex Ambrosiano meo; quo facto, hoc loco nihil planius. Est autem in aprico fons erroris. Mox cum Sylburgio posui superlativum gradum pro ἀναγκαιότερον, quae librorum scriptura est. Frustra autem criticos, ut hunc locum emendarent, *fecunda concussisse pectora*, nihil prorsus est quod miremur.

(6) Ita scripsi e Sylburgii coniectura pro τρόπων.

(7) Vulgo additur ἐν, quod dittographia natum delevi. De eadem re iam Kruegerum monuisse video.

(8) Vulgo πᾶσιν—παρέχει, minus ad rem. Sententia et contextus id postulant, quod edidi: πᾶσαν ex coniectura, περιέχει ex Ambrosiano meo.

(3) Codd. ἀκούουσι, quod probabili medicina correxit Reiskius. Mox post ῥητορικήν delevi comma et recepi ἔθη pro ἔθνη, quae eiusdem Reiskii est emendatio.

μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν, πολλοὺς δὲ νόμους ἀκριβῶσαι καὶ (1) πολιτειῶν σχήματα, καὶ βίους ἀνδρῶν, καὶ πράξεις, καὶ τέλη (2), καὶ τύχας. Τούτων τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν, οὐκ ἀπεσπασμένην τῶν πραγμάτων, ἀλλὰ συμπαροῦσαν. Πάντα δὴ (3) ταῦτα ζηλωτὰ τοῦ συγγραφέως, κἄτι πρὸς τούτοις, ὅσα φιλοσοφεῖ παρ' ὅλην τὴν ἱστορίαν, περὶ δικαιοσύνης καὶ εὐσεβείας (4) καὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. Τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηριστικώτατον (5), ὅπερ οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται καὶ δυνατῶς, οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν νεωτέρων· τί δὲ τοῦτ' ἔστι; τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν, ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων αὐτὰ τὰ πάθη (6) τῆς ψυχῆς, ἃ μὴ ῥάδια τοῖς πολλοῖς εἰδέναι· καὶ πάντ' ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. Καί μοι δοκεῖ, ὡς ὁ μυθευόμενος εἶναι (7) τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν, οὕτως ἀκριβὴς εἶναι ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γιγνόμενος· διὸ

---

(1) νόμους ἀκοῦσαι πολ. codd., quam lectionem, quia neque ἀκοῦσαι ferri neque καί abesse potest, de coniectura mea mutavi. 'Ακριβῶσαι autem est *accurate cognoscere*, qua notione h. l. nihil est aptius. Non tamen absurde antea suspicabar, simpliciter abiecto ἀκοῦσαι, reponendum esse: πολλοὺς δὲ νόμους καὶ πολ., ex ΜΟΥΣΚΑΙ natum esse ΑΚΟΥΣΑΙ arbitratus. Neque hodie eam suspicionem prorsus repudio.

(2) Fort. καὶ ἤθη, vel κἀπιτηδεύματα. Vulgata certe lectio ferri nequit. In sqq. certa medicina sanavi ἅπασιν, scripto ἅπασαν. Simul in ordinem recepi Kruegeri correctionem τούτων pro τούτοις.

(3) Vulgo δέ, quod correxi.

(4) Libri: παρ' ὅλην τὴν δικαιοσύνην καὶ εὐσέβειαν, et mox καὶ περὶ τῶν ἄλλων praeter Ambrosianum, in quo περί recte omissum mihi videtur. Mutata interpunctione, cum Kruegero recepi Sylburgii coniecturam.

(5) Codd. χαρακτηρικώτατον, quod non est unius assis: deinde, item de coniectura, pro ὃ παρ' οὐδενὶ κτέ. reposui ὅπερ οὐδενί κτέ., qua emendatione nihil est certius. Mox δυνατῶς dedi pro δύναται, in quam suspicionem iam Kruegerum incidisse video, cl. de Thuc. hist. iud. Cap. XIII, p. 840, 17, ed. Reisk.

(6) Vulgo αὐτὰς, καὶ τὰ πάθη. De coniectura rescripsi, quae vides. Non tamen intercedam, si quis cum Reiskio post αὐτάς inseri malit τὰς διανοίας. Sensus optimus, sed mutatio aliquanto violentior nostra. Kruegerus minus recte τῶν πραξάντων αὐτὰς τὰ πάθη κτέ. scribendum suspicabatur, cui coniecturae iure ipse praefert Reiskianam, quam illustrat apposito loco Dion. Antiqq. V, 56, p. 378.

(7) εἶναι fortasse melius abesset.

καὶ βάσκανος ἔδοξεν εἶναι, προσλαμβάνων τοῖς ἀναγκαίοις ὀνειδισμοῖς καὶ ἄττα τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα κατηγορήματα (1)· ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι καὶ κάουσι τὰ διεφθαρμένα (2) τοῦ σώματος, ἕως βάθους (3) τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲ τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. Τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.

Ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστ' ἔοικεν. Καθαρά τε (4) γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφὴς ὑψηλή τε καὶ μεγαλοπρεπὴς, καὶ τὸ πομπικὸν ἔχουσα πολὺ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς ῥέουσα. Διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ', ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους. Πολὺς γὰρ ῥεῖ (5) ἐν τούτοις, καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ παρὰ (6) μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι, κἀκ τῶν ἀρχαϊκῶν (7) ἐπιστολῶν, ἃς τῷ........ πνεύματι (8) ἐπιτρέψας γέγραφεν. Εἰ δ' ὑπερ-

---

(1) Vulgo: προλαμβάνων τινὰ τοῖς ἀναγκαίοις ὀνειδισμοῖς καὶ τὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα πράγματα. Amb. recte dedit mihi προσλαμβάνων, transposito τινά post ἀναγκαίοις. Recepta Kruegeri coniectura κατηγορήματα (possis quoque ἐγκλήματα), reposui confidenter, quod vides. Τινὰ est interpretamentum formae rarioris ἄττα, quae ipsa in τά corrupta est.

(2) An excidit μέρη?

(3) Sic recte Amb. Vulgo ὡς βάθους. Varia coniecta sunt; quod simplicissimum erat, vidit nemo. Mox vide, an pro τομάς scribendum sit τοὺς τομέας i. e. *cultros*. In vicinia autem στοχαζόμενοι, ut saepius, valet *rationem habentes*, quod non monerem, ni absurde *attingendi* verbo interpretem Latinum usum esse vidissem, et, quod gravius est, viros doctos cogitasse de alio vocabulo reponendo. Reiskius enim proposuit φειδόμενοι, Kruegerus ἀποσχόμενοι; in qua coniectura ne Aoristus quidem ferri potest. Cf. Platon. Lach. 178б et Demosth. XIII, p. 36 (Bekk).

(4) Vulgo καθαρὰ γάρ. Inserui particulam τε ex Ambros.

(5) ῥεῖ inserui de coniectura mea. Praeterea malim ἐν τοῖς τοιούτοις pro ἐν τούτοις.

(6) Vulgo κατὰ μικρόν, quod significat *paulatim*. Audacter reposui, quod Graecum est eo sensu, qui hic requiritur. Possis tamen, deleta praepositione, scribere οὐδὲ μικρόν.

(7) Vide, quae supra dixi pag. 42 in adnot. 6.

(8) Ita cod. Ambr.; qui spatium vacuum reliquit 9 fere literarum. Suspicor: τῷ σφοδρῷ πνεύματι. Mox codd. εἰ δ' ὑπερεῖδεν ἐν τούτοις ἐφ' οἷς κτέ. Expunxi vocabula ἐν τούτοις, quippe male repetita e superiore periodo: πολὺς γὰρ ῥεῖ ἐν τούτοις κτέ. Si quis tamen praetulerit: εἰ δ' ὑπερεῖδε τούτων, ἐφ' οἷς κτέ., equidem non obnitar. Praeterea pro μάλιστ' ἂν reposui μάλιστα, quemadmodum legendum esse iam Kruegerus monuit.

εἶδεν, ἐφ' οἷς μάλιστ' ἐσπούδακε, τῆς τε συμπλοκῆς τῶν φωνηέντων γραμμάτων, καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων, καὶ τῆς ὁμοειδείας τῶν σχηματισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν. Ἔστι δ' ἃ καὶ κατὰ τὸν πραγματικὸν τύπον (1) ἁμαρτάνει καὶ μάλιστα κατὰ τὰς παρεκβολάς (2). Οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γιγνόμεναι (3), πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι. Ἐν αἷς ἐστι καὶ τὰ περὶ Σειληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη (4), κἄλλ' οὐκ ὀλίγ' ὅμοια τούτοις. Οὗτοι δὴ (5) παραληφθέντες οἱ συγγραφεῖς ἀρκέσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον ἀφορμὰς ἐπιτηδείους παραδειγμάτων παρασχεῖν εἰς ἅπασαν ἰδέαν.

---

(1) *τόπον* codd., quod quomodo corrigendum esset, iam Stephanus intellexit. Nugas agit h. l. et III § 15 Sylburgius.

(2) Codd. *παραβολάς*. Correxit Valckenaerius ad Herod. IV, 167. Primus recepit Kruegerus.

(3) Amb. *γενόμενοι*, quo recepto, fortasse scribendum: *πολὺ τὸ — ἐμφαίνουσιν*. Ex eodem codice deinde correxi vulgata: *ἐν οἷς ἐστι καὶ περὶ Σειληνοῦ*. Articulum agnoscit quoque *Vett. Script. Cens.* III, p. 429; omisso tamen *καί*. Quam lectionem sequitur Kruegerus.

(4) In *Cens. Script. Vet.*, p. 429, ed. Reisk. *πρὸς τῇ τριήρει*, qui locus hinc emendandus.

(5) Libri MS et edd. omnes: *καὶ ἄλλα τούτοις οὐκ ὀλίγα ὅμοια. Τούτοις παραληφθέντες κτέ.* Prius *τούτοις* expungendum esse, sublato puncto post *ὅμοια*, acute perspexit Reiskius. Deinde inserendum ego iudicavi *οὗτοι δή*, Kruegerus solum *οὗτοι*. A fine epistolae quaedam deesse non improbabiliter idem statuisse mihi videtur.

ΔΙΟΝΥΣΙΟΥ

ΤΟΥ

ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΜΑΙΟΝ Η ΔΕΥΤΕΡΑ (1)

ΠΕΡΙ

ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΙΔΙΩΜΑΤΩΝ.

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩΙ ΤΩΙ ΦΙΛΤΑΤΩΙ ΧΑΙΡΕΙΝ.

Ἐγὼ μὲν ὑπελάμβανον ἀρκούντως δεδηλωκέναι τὸν Θουκυδίδου χαρακτῆρα, τὰ μέγιστα καὶ κυριώτατα τῶν ὑπαρχόντων περὶ αὐτὸν ἰδιωμάτων ἐπεξελθών, ἐν οἷς γε δὴ μάλιστα διαφέρειν ἔδοξέ μοι τῶν πρὸ αὑτοῦ (2) ῥητόρων τε καὶ συγγραφέων, πρότερον μὲν (3) ἐν τοῖς περὶ τῶν ἀρχαίων ῥητόρων πρὸς τὸ σὸν ὄνομα συνταχθεῖσιν ὑπομνηματισμοῖς, ὀλίγοις δὲ (4) πρόσθεν χρόνοις ἐν τῇ περὶ αὐτοῦ τοῦ (5).

---

(1) Vocabula *ἐπιστολή—δευτέρα* addita ab editoribus. Mox in quibusdam codd. omittuntur vocabula *τῷ φιλτάτῳ*.

(2) Legebatur *αὐτοῦ*.

(3) *γάρ* inserit B.

(4) Exemplar, teste Sylburgio, habet *δή* manifesto errore.

(5) Om. *τοῦ* M; fortasse recte. Mox Sylburgius coniecit *τοῦ αὐτοῦ*. Vide Kruegerum ad h. l.

Θουκυδίδου κατασκευασθείσῃ γραφῇ, προσειπὼν τὸν Αἴλιον Τουβέρωνα (1)· ἐν ᾗ πάντα τὰ δεόμενα λόγου μετὰ τῶν οἰκείων ἀποδείξεων διεξελήλυθα (2) κατὰ τὴν ἐμαυτοῦ (3) δύναμιν. Σοῦ δ' ὑπολαμβάνοντος, ἧττον ἠκριβῶσθαι τὰς γραφάς, ἐπειδὴ προεκθέμενος ἅπαντα τὰ συμβεβηκότα τῷ χαρακτῆρι, τότε τὰς περὶ αὐτῶν πίστεις παρέχομαι (4), ἀκριβεστέραν δὲ τὴν δήλωσιν τῶν ἰδιωμάτων τοῦ χαρακτῆρος (5) ἔσεσθαι νομίζοντος, εἰ παρὰ μίαν ἑκάστην τῶν προθέσεων (6) τὰς λέξεις τοῦ συγγραφέως παρατιθείην, ὃ οἱ τὰς τέχνας καὶ τὰς εἰσαγωγὰς τῶν λόγων πραγματευόμενοι ποιοῦσι, προελόμενος εἰς μηδὲν ἐλλείπειν καὶ τοῦτο πεποίηκα, τὸ διδασκαλικὸν σχῆμα λαβὼν ἀντὶ τοῦ ἐπιδεικτικοῦ.

CAPUT II.

Ἵνα δ' εὐπαρακολούθητος ὁ λόγος σοι γένηται, προθεὶς κατὰ λέξιν, ὅσα (7) περὶ τοῦ συγγραφέως τυγχάνω προειρηκὼς, ἐπιτροχάδην ἀναλήψομαι τῶν προθέσεων ἑκάστην καὶ τὰς ἀποδείξεις παρέξομαι, καθάπερ ἠξίους (8). Ἕπεται δὲ τοῖς περὶ Ἡροδότου γραφεῖσι τὰ μέλλοντα δηλοῦσθαι. Τούτῳ γὰρ Θουκυδίδης τἀνδρὶ (9) ἐπιβαλὼν καὶ τοῖς ἄλλοις, ὧν πρότερον ἐμνήσθην, καὶ συνιδὼν, ἃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετὰς, ἴδιόν τι γένος χαρακτῆρος οὔτε πεζὸν αὐτοτελῶς οὔτ' ἔμμετρον ἀπηρτισμένως, κοινὸν δέ τι καὶ μικτὸν ἐξ ἀμφοῖν ἐργασάμενος, εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν εἰσαγαγεῖν, ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν καὶ γλωττηματικὴν καὶ ἀπηρχαιωμένην καὶ ξένην λέξιν παραλαμβάνων πολλάκις ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς καθ' ἑαυτὸν ἀνθρώποις· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστ' ἐβουλήθη διενεγκεῖν

---

(1) κέρωνα LM.
(2) διελήλυθα B.
(3) Ita recte codd. plerique mei. Vulgo αὐτοῦ. Kruegerus αὑτοῦ.
(4) Malim quidem παρέσχημαι; sed vulgata ferri posse videtur.
(5) Vocabula τοῦ χαρακτῆρος dubito an ipsius sint Dionysii.
(6) Codd. παραθέσεων. Kruegerus primus e Reiskii coniectura edidit προθέσεων.
(7) Om. B, et idem mox τῶν ante προθέσεων.
(8) Vulgo ἠξίουν. Correxit Reiskius. Meus B exhibet ἠξίους (supra scr. ουν). Idem deinde ἕπεσθαι.
(9) Vulgo τῷ ἀνδρί.

τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος πραγματείαν, τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δ' (1) εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ νῦν μὲν τὸ ῥηματικὸν ὀνοματικῶς (2) ἐκφέρων, αὖθις δὲ τοὔνομα ῥῆμα ποιῶν, καὶ αὐτῶν γε τούτων ἀναστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνοματικὸν προσηγορικὸν γένηται, τὸ δὲ προσηγορικὸν ὀνοματικῶς λέγηται (3)· καὶ τὰ μὲν παθητικὰ ῥήματα δραστήρια, τὰ δὲ δραστήρια παθητικά· πληθυντικῶν δὲ καὶ ἑνικῶν ἐναλλάττων τὰς φύσεις καὶ ἀντικατηγορῶν ταῦτ' ἀλλήλων· θηλυκά τ' ἀρρενικοῖς καὶ ἀρρενικὰ θηλυκοῖς καὶ οὐδέτερα τούτων τισὶ συνάπτων, ἐξ ὧν ἡ κατὰ φύσιν ἀκολουθία πλανᾶται· τὰς δὲ τῶν ὀνοματικῶν ἢ μετοχικῶν πτώσεις τοτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, τοτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου (4)· ἐν δὲ τοῖς συνδετικοῖς καὶ τοῖς προθετικοῖς μορίοις κἄτι μᾶλλον ἐν τοῖς διαρθροῦσι τὰς τῶν ὀνομάτων (5) δυνάμεις ποιητοῦ τρόπον ἐνεξουσιάζων. Πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ τῶν σχημάτων (6) προσώπων τ' ἀποστροφαῖς καὶ χρόνων ἐναλλαγαῖς καὶ τροπικῶν (7) σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα τῶν συνήθων καὶ σολοικισμῶν λαμβάνοντα φαντασίας (8)· ὁπόσα τε γίγνεται πράγματ' ἀντὶ σωμάτων ἢ σώματ' ἀντὶ πραγμάτων (9). καὶ ἐφ' ὧν ἐνθυμημάτων αἱ μεταξὺ

---

(1) ποτὲ μὲν — ποτὲ δέ C, non male.
(2) Ita recte C. Ceteri libri ὀνομαστικῶς. Quod dedi iam sine libris correxerat Sylburgius; primus sic edidit Kruegerus.
(3) Praeeunte Reiskio ita correxi locum corruptissimum ex libello *de Thucyd. iud.* cap. 24 § 2, ubi ad verbum eadem leguntur. Nam vulgo scribitur absque sensu: ἵνα τὸ μὲν ὀνοματικὸν [ῥηματικὸν, τὸ δὲ ῥηματικὸν ὀνοματικὸν] λέγηται; in qua lectione ea, quae uncinis circumdedi, absunt a codd. meis LM. Vides igitur primum errore omissa fuisse a librariis vocabula: προσηγορικὸν— ὀνοματικῶς, deinde impudenter suppleta: ῥηματικὸν τ. δ. ρ. ὀνοματικόν. Ex eodem loco mox reposui ἐναλλάττων pro ἀλλάττων. Pro ἀντικατηγορῶν deinde L habet ἀντηγορῶν, Sylburgii quidam codex ἐγκατηγορῶν. Corruptelam huic verbo subesse puto, sed, quid reponendum sit, frustra quaesivi. Deinde ex M. rescripsi ἀρρενικοῖς pro ἀρσενικοῖς, et ex loco supra laudato ἀρρενικά pro ἄρρενα. Ibidem mox legitur ποτὲ μὲν—ποτὲ δέ.
(4) Codd. ALM, omisso: σημαῖνον ἀπὸ τοῦ, habent σημαινόμενον.
(5) Ita rescripsi ex loco supra laudato pro absurdo νοήματων.
(6) Ut evitetur diversorum Genitivorum concursus, scribi malim: πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ σχήματα προσώπων τ' κτέ.
(7) E Kruegeri coniectura pro τοπικῶν.
(8) Codd. AL et locus laudatus. Vulgo φαντασίαν.
(9) Codd. ἀποστέγειν ἢ τὰ πράγματα ἀντὶ σωμάτων, ἢ τὰ σώματα ἀντὶ πραγμάτων. — Cod. meus B om. ἀποστέγειν; AL om. τά ante σώματα; recte. Locum refinxit primus Kruegerus, auctore Reiskio, ex cap. XXIV *de Thucyd. iud.*,

παρεμπτώσεις πολλαὶ γιγνόμεναι διὰ μακροῦ τὴν ἀκολουθίαν κομίζονται· τά τε σκολιὰ καὶ πολύπλοκα καὶ δυσεξέλικτα καὶ τἆλλα τὰ συγγενῆ τούτοις. Εὕροι δ᾽ ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ᾽ αὐτῷ, τὰς παρισώσεις λέγω [καὶ παρομοιώσεις] (1) καὶ παρονομασίας καὶ ἀντιθέσεις, ἐν αἷς ἐπλεόνασε (2) Γοργίας ὁ Λεοντῖνος καὶ οἱ περὶ Πῶλον καὶ Λικύμνιον (3) καὶ πολλοὶ ἄλλοι τῶν κατ᾽ αὐτὸν ἀκμασάντων. Ἐκδηλότατα δ᾽ αὐτοῦ καὶ χαρακτηριστικώτατ᾽ (4) ἐστὶ τό τε πειρᾶσθαι δι᾽ ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα καὶ πολλὰ συντιθέναι νοήματα εἰς ἓν κἄτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι καταλείπειν (5)· ὑφ᾽ ὧν ἀσαφὲς γίγνεται τὸ βραχύ. Ἵνα δὲ συνελὼν εἴπω, τέτταρα (6) μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως, τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῆς σημασίας. Χρώματα δ᾽ αὐτῆς τό τε στρυφνὸν καὶ τὸ πικρὸν (7) καὶ τὸ αὐστηρὸν καὶ τοὐμβριθὲς καὶ τὸ δεινὸν καὶ τὸ φοβερὸν, ὑπὲρ ἅπαντα δὲ ταῦτα (8) τὸ παθητικόν. Τοιουτοσὶ μὲν δή τίς ἐστιν (9) ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκεν.

CAPUT III.

Γλωττηματικὰ μὲν οὖν κἀπηρχαιωμένα καὶ δυσείκαστα τοῖς

---

sed male retinuit articulum ante *σώματα*. Mox post *ἐνθυμημάτων* omisi interpretamentum *τε καὶ νοημάτων*, quod recte abest a loco laudato. Vocabula autem *οἱ μεταξὺ—κομίζονται* desiderantur in P. Idem om. *τά* post *τἆλλα*.

(1) Vocabula *καὶ παρομοιώσεις* speciem habent interpretamenti, et ab altero exemplo absunt; quare inclusi.

(2) Malim *ἐπλεόνασαν*.

(3) *Λυκίμνιον* M.

(4) *χαρακτηρικώτατα* M pervulgato errore, et sic ante Kruegerum edebatur in altero exemplo. Mox *τό τε πειρᾶσθαι* recte ALMR. Ante Reiskium *πεπειρᾶσθαι*, quod ille correxit ex alter oloco. *Πεπειρᾶσθαι* (om. *τό τε*) BC.

(5) *καταλείπει* legebatur ante Reiskium, qui ex altero exemplo restituit Infin. Ita mei ALMR, *καταλείπει* BC.

(6) Vulgo *τέσσαρα*, quod ex altero exemplo correxi. In Dionysii et aequalium oratione duplex *ττ* praeferendum esse puto. Mox *ἐστιν* om. C.

(7) *καὶ τὸ πυκνόν* vulgo additur et hic et in lib. de *Thucyd. iud* l.l. § 6, nisi quod ibi inverso ordine: *καὶ τὸ πυκνὸν καὶ τὸ πικρόν*. Manifestum est, *τὸ πυκνόν* huc non pertinere, quare Reiskii ea deleri iubentis iudicium secutus sum.

(8) Vulgo utroque loco *δ᾽ αὐτοῦ ταῦτα*, quae de coniectura correxi.

(9) *ἐστιν* om. C.

πολλοῖς ἐστι τό τ᾽ ἀκραιφνὲς καὶ ὁ ἐπιλογισμὸς (1) καὶ ἡ περιωπὴ καὶ ἡ ἀνοκωχὴ (2) καὶ τὰ ὅμοια τούτοις. Ποιητικὰ δ᾽ ἥ τε κωλύμη καὶ ἡ πρέσβευσις (3) καὶ ἡ καταβοὴ (4) καὶ ἡ ἀχθηδὼν καὶ ἡ δικαίωσις καὶ τὰ παραπλήσια. Ἡ δ᾽ ἐν τοῖς σχηματισμοῖς καινότης τε καὶ πολυτροπία καὶ ἡ ἐξαλλαγὴ τῆς συνήθους χρήσεως, ἐν ᾗ μάλιστα διαφέρειν αὐτὸν ἡγούμεθα τῶν ἄλλων, ἐπὶ τούτων γίγνεται τῶν ἔργων (5) φανερά.

CAPUT IV.

Ὅταν μὲν οὖν μίαν λέξιν εἴτ᾽ ὀνοματικὴν εἴτε ῥηματικὴν πλείοσιν (6) ὀνόμασιν ἢ ῥήμασιν ἐκφέρῃ, περιφράζων τὴν αὐτὴν νόησιν, τοιαύτην ποιεῖ τὴν λέξιν· »Ἦν γὰρ ὁ Θεμιστοκλῆς (7) βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι.“ Καὶ μὴν ἐν τῷ ἐπιταφίῳ γέγραφεν· »Οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ (8) κεκώλυται.“ Καὶ γὰρ ἐν τούτοις τὸ σημαινόμενον ποιεῖ τὸν λόγον (9), ὡς ἐπὶ τοῦ Λακεδαιμονίου Βρασίδα τέθεικεν, ὅτε μαχόμενος περὶ Πύλου ἀπὸ τῆς νεὼς, τραυματίας γενόμενος ἐξέπεσεν. »Πεσόντος δ᾽ αὐτοῦ, φησίν, εἰς τὴν παρεξειρεσίαν, ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν (10).“ Βούλεται γὰρ δηλοῦν· »πεσόντος δ᾽

---

(1) Ita. Paris. 1, 2, et mei ABCL. Vulgo *περιλογισμός*.

(2) Libri *ἀνακωχή*. Cf. Valckenaerium ad Ammon. 1, 5, p. 25.

(3) Ita Paris. 2 et Colb., meique omnes pro *πρεσβευσία*.

(4) E Paris. 2 recepit Kruegerus pro *καταβολή*.

(5) Fortasse: *ἐκ τούτων γίγνεται τῶν παραδειγμάτων φανερά*?

(6) Vulgo *ἐν πλείοσιν*. Delevi praepositionem natam e fine vocabuli praecedentis. Vocabula *εἴτε ῥηματικήν* errore omissa in B. *Ὀνοματικήν*, ut primus pro *ὀνομαστικὴν* dedit Kruegerus, habent mei omnes.

(7) Articulum om. M et mox vitiose habet *δηλῶσαι*. Locus Thucydideus est I, 138.

(8) Libri quidam *ἀφανίᾳ*, unde plane absurde L *ἀφωνίᾳ*. Thucyd. II, 37.

(9) Paris. 1 et Colb. apud Hudsonum et mei AMR inserunt *τοιοῦτον*. Intactum reliqui locum corruptissimum. Kruegerus pro *τὸ σημαινόμενον* legendum proponens *σχηματίζων ὄνομα* mihi non persuadet, neque ipse reperi, quod satisfaceret. Vereor autem, ne quid exciderit post *σημαινόμενον*.

(10) Edidi, ut habet Thucyd. IV, 12. Codd. negligentius bis *εἰς* scribunt et *θάλατταν* per *ττ*. Ceterum quidam codd. Hudsoni et mei omnes vocabula *εἰς θάλατταν* hic omittunt et transponunt in sequentis periodi fine post *τῆς εἰρεσίας*. *Πεσόντος* habent mei, ni fallor, omnes. Antea legebatur *τ. Ὄντος*, quod e Thucyd. corr. Sylburgius.

αὐτοῦ ἔξω τῆς νεὼς ἐπὶ τὰ προέχοντα μέρη τῆς εἰρεσίας” —

CAPUT V.

Ἐν οἷς δὲ τὰ ῥηματικὰ μόρια τῆς λέξεως ὀνοματικῶς (1) σχηματίζει, τοιαύτην ποιεῖ τὴν φράσιν· ἔστι δ' αὐτῷ πρὸς Ἀθηναίους ὁ Κορίνθιος ἐν τῇ πρώτῃ βίβλῳ (2) τάδε λέγων· »Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε.” Τὸ γὰρ παραινεῖν καὶ ἀξιοῦν ῥήματα ὄντα ὀνοματικὰ (3) γέγονε παραίνεσις καὶ ἀξίωσις. Ταύτης δ' ἐστὶ τῆς ἰδέας (4) ἥ τ' οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου, ἣν ἐν τῇ ἑβδόμῃ βίβλῳ, (καὶ ἡ ὀλόφυρσις, ἣν ἐν τῇ πρώτῃ βίβλῳ) τέθεικεν ἐν δημηγορίᾳ (5). Τὸ γὰρ ἀποτειχίσαι καὶ ὀλοφύρασθαι ῥήματα ὄντα ὀνοματικῶς ἐσχήματικεν ἀποτείχισιν καὶ ὀλόφυρσιν.

CAPUT VI.

Ὅταν δ' ἀντιστρέψας ἑκατέρου τούτων τὴν φύσιν τὠνόματα ποιῇ ῥήματα, τοῦτον τὸν τρόπον ἐκφέρει τὴν λέξιν, ὡς ἐν τῇ πρώτῳ βίβλῳ περὶ τῆς αἰτίας τοῦ πολέμου γράφει. »Τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν (6), λόγῳ δ' ἀφανεστάτην, τοὺς Ἀθηναίους οἴομαι μεγάλους γιγνομένους ἀναγκάσαι εἰς τὸ πολεμεῖν.” Βούλεται γὰρ δηλοῦν, ὅτι μεγάλοι γιγνόμενοι οἱ Ἀθηναῖοι ἀνάγκην παρέσχον τοῦ πολέμου, πεποίηκε δ' ἀντὶ τῆς ἀνάγκης καὶ τοῦ πο-

---

(1) Sic ABMR et Reg. 1, 2, Colb. Ceteri *ὀνομαστικῶς*.

(2) *βίβλῳ* om. B. Fortasse: *οἷ' ἐστιν ἅ φησι πρὸς Ἀθηναίους ὁ Κορίνθιος κτέ·*

(3) Ita mei omnes, excepto C, et Colb., unde hoc reposuit Kruegerus pro vulgato *ὀνομαστικῶς*. Malim tamen *ὀνόματα*.

(4) *δ'* om. MR. Fortasse: *τῆς δ' αὐτῆς ἐστιν ἰδίας*. Mox M habet: *ἥ τε κατατείχισις*; deinde R relicto spatio omisit *Πλημμυρίου*, pro quo L corrupte *Πλημμύου* exhibet. Non mediocriter hic a scribis titubatum esse apparet, augetque suspicionem, quod frustra ista in Thucydide quaeruntur.

(5) Ante *τό* B inserit *καὶ ἡ ὀλόφυρσις*. Ego de Kruegeri coniectura inserui, quae inclusa cancellis posui. Idem ad Thuc. I, c. 43 extr. respici, recte monuit. Mox dedi *ὀλοφύρασθαι*, cui vitio adhaesit praecedentis verbi praepositio, pro *ἀπολοφύρασθαι* de coniectura mea, et *ῥήματα* pro *ῥηματικά*, ut optime coniecit Sylburg. Tandem in *ὀνοματικῶς*, quod ille dedit pro *ὀνομαστικῶς*, conspirant mei ACMR.

(6) Thucyd. I, c. 23: *τ. μ. γὰρ ἀλ. πρόφασιν*. Meus B: *αἰτίαν τὴν ἀληθεστάτην*.

λέμου, ὀνομάτων ὄντων, ῥηματικῶς (1) τό τ' ἀναγκάσαι καὶ τὸ πολεμεῖν.

CAPUT VII.

Ὅταν δὲ τῶν ῥημάτων ἐναλλάττῃ τὰ εἴδη τῶν παθητικῶν καὶ ἐνεργητικῶν (2), οὕτω σχηματίζει τὸν λόγον· »Οὔτε γὰρ ἐκεῖνο κωλύει ταῖς σπονδαῖς οὔτε τόδε.” Τὸ γὰρ κωλύει, ῥῆμα ἐνεργητικὸν ὑπάρχον, ἀντὶ τοῦ κωλύεται, παθητικοῦ ὄντος, παρείληπται. Ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιοῦτον· »Οὔτε γὰρ ἐκεῖνο κωλύεται ταῖς σπονδαῖς οὔτε τόδε.” Κἄτι τἀν τῷ προοιμίῳ λεγόμενα· »τῆς γὰρ ἐμπορίας οὐκ οὔσης οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις.” Καὶ γὰρ ἐν τούτοις τὸ ἐπιμιγνύντες ἐνεργητικὸν ὑπάρχον ῥῆμα τοῦ ἐπιμιγνύμενοι, παθητικοῦ ὄντος, τὴν χώραν ἐπέχει (3).

CAPUT VIII.

Ὅταν δ' ἀντὶ τοῦ ἐνεργητικοῦ (4) τὸ παθητικὸν παραλαμβάνῃ, τοῦτον σχηματίζει τὸν τρόπον· »Ἡμῶν δ' ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν” (5). Βούλεται μὲν γὰρ δηλοῦν· »Ἡμῶν δ' ὅσοι μὲν Ἀθηναίοις ἤδη (6) ἐνήλλαξαν”. Παρείληφε δὲ τὸ ἐνηλλάγησαν, παθητικὸν ὑπάρχον, ἀντὶ ἐνεργητικοῦ (7) τοῦ ἐνήλλαξαν. Καὶ τὸ ἐπιφερόμενον τούτῳ· »Τοὺς δ' ἐν τῇ μεσογείᾳ μᾶλλον κατῳκημένους.” Ἀντὶ γὰρ τοῦ ἐνεργητικοῦ (8) ῥήματος τοῦ κατῳκηκότας τὸ παθητικὸν παρείληφε, τὸ κατῳκημένους.

---

(1) Vulgo *ὀνοματικῶν* (al. *ὀνομαστικῶν*) *ὄντων* (in A est *λόγων* sic) *ῥηματικὰ κτέ.* Quae invitis libris correxi. Possis tamen quoque *ῥήματα* pro *ῥηματικά*. Sed lenior est, quam secutus sum rationem. Mox *ἐναλλάττῃ* scripsi pro *ἀλλάττῃ*. Liber quidam Sylburgii et mei ALM exhibent *ἀπαλλάττῃ*.

(2) *καὶ ποιητικῶν* Par. 2 et Colb., ac mei ABLMR; utrumque vocabulum om. C. Verba Thucydidea leguntur I, 144, addito *ἐν* ante *ταῖς σπονδαῖς*. In sqq. autem iure mireris, cur noster post verba satis dilucida atque aperta: *τὸ γὰρ — παρείληπται* addenda esse iudicarit haec: *ἦν δὲ τὸ — οὔτε τόδε.* At similiter in sqq nimia prolixitate oratio laborat.

(3) *ἔχει* A. Articulum ante *χώραν* inserui sine MS.

(4) *ποιητικοῦ* ABCLMR, cum Par. 2.

(5) Thuc. I, 120. Meus M, om. *ἤδη*, habet *συνηλλάγησαν*.

(6) *ἤδη* de coniectura addidi et reposui *ἐνήλλαξαν* pro *συνήλλαξαν* ac mox idem pro eodem.

(7) *τοῦ ποιητικοῦ* AL *ποιητικοῦ* BC et Par. 2 cum Colb.

(8) *ποιητικοῦ* ABCLMR.

CAPUT IX.

Παρὰ δὲ τὰς τῶν ἑνικῶν τε καὶ πληθυντικῶν διαφορὰς, ὅταν ἐναλλάττῃ τὴν ἑκατέρου τούτων τάξιν, ἑνικὰ (1) μὲν ἀντὶ πληθυντικῶν οὕτως ἐκφέρει· »Καὶ εἴ τῳ (2) ἄρα παρέστηκε, τὸν μὲν Συρακόσιον, αὑτὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ." (3). Βούλεται μὲν γὰρ τοὺς Συρακοσίους λέγειν καὶ τοὺς Ἀθηναίους, πεποίηκε δὲ τῶν ὀνομάτων ἑκάτερον ἑνικόν. Κἀν οἷς φησι· »Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως" (4). Τοὺς γὰρ πολεμίους ἐσχήματικεν ἑνικῶς (5). Ἀντὶ δὲ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν παραλαμβάνει, τοῦτον τὸν τρόπον ἐξαλλάττων τὴν συνήθη φράσιν· κεῖται δ' ἡ λέξις ἐν τῷ προοιμίῳ τοῦ ἐπιταφίου· »Μέχρι γὰρ τοῦδ' ἀνεκτοὶ οἱ ἔπαινοί (6) εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς (7) ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσεν." Τὸ γὰρ ἕκαστος καὶ τὸ ἤκουσεν ἑνικά· τὰ δ' ἐπιφερόμενα τούτοις πληθυντικῶς ἐξενήνεκται· »Τῷ δ' ὑπερβάλλοντι (8) αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν (9).

CAPUT X.

Ἀρρενικῶν (10) δὲ καὶ θηλυκῶν καὶ οὐδετέρων ἀντιμετατάξεις, ἐκβεβηκυῖαι τῶν συνήθων σχημάτων, αἱ τοιαίδ' εἰσιν· οἷον τὴν μὲν ταραχὴν τάραχον καλεῖ, τὸ θηλυκὸν ἐκφέρων ἀρρενικῶς, καὶ τὴν ὄχλησιν ὄχλον, τὴν δὲ βούλησιν καὶ τὴν

---

(1) ἠνίκα A.

(2) Thuc. VI, 78; unde reposui εἴ τῳ pro οὕτως.

(3) Vulgo Συρακούσιον, quod sine libris correxi, ut mox Συρακουσίους. Mox L: παρέστησε τὸ μὲν Σ. αὐτὸ οὐδὲν π.: M: παρέστηκε τ. μ. Σ. αὐτὸ οὐδὲ πολ. Thuc. ll. ἑαυτόν, et mox τῷ Ἀθηναίῳ, quod inde cum Kruegero restitui pro vulgato τὸν Ἀθηναίον; Reg. 2 et Colb. atque mei ABR τῶν Ἀθηναίων; solus autem L sine vitio τῷ Ἀθηναίῳ.

(4) Thuc. IV, 10.

(5) Vulgo additur: οὐχὶ πληθυντικῶς, quod omisi cum meo R.

(6) B habet: οἱ ἔπαινοι ἀνεκτοί.

(7) Sic mei LM pro εἰς, more Thucydideo. Locus est II, 35.

(8) τὰ δ' ὑπερβάλλον BC, sed in mg. γρ. τῷ ὑπερβάλλοντι. Reliqui codd. et Thucyd. II, 35 habent, quod editum est.

(9) Vulgo sequuntur haec, quae omisi cum cod. B: οὐ καθ' ἑνὸς λέγεσθαι πεφύκασιν ἀλλὰ κατὰ πολλῶν.

(10) Ita mei omnes praeter B pro ἀρσενικῶν et mox praeter eundem ἀρρενικῶς.

δύναμιν τὸ βουλόμενον λέγει καὶ τὸ δυνάμενον, ὡς ἐπὶ τῶν Ἀθηναίων τέθεικεν, ὅτε τὴν εἰς (1) Σικελίαν ἀπέστελλον στρατιάν· »Οἱ δ' Ἀθηναῖοι τὸ μὲν βουλόμενον (2) οὐκ ἀφῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς." κἀν οἷς περὶ τῶν Θετταλῶν εἴρηκεν· Ὥστ' εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῷ ἐπιχωρίῳ οἱ Θεσσαλοί". Καὶ γὰρ ἐνταῦθα οὐδέτερον πεποίηκε τὸ θηλυκόν (3).

CAPUT XI.

Ἐν οἷς δὲ τὰς πτώσεις τῶν ὀνομάτων καὶ τῶν προσηγοριῶν καὶ τῶν μετοχῶν καὶ τῶν (4) συναπτομένων τούτοις ἄρθρων ἐξαλλάττει τοῦ συνήθους, οὕτω σχηματίζει τὴν φράσιν· Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τῆς ἀπὸ τῶν Ἀθηναίων ὑπούλου εὐνομίας (5) οὐ προτιμήσαντες." Οἱ μὲν γὰρ ἀκολούθως τῇ κοινῇ συνηθείᾳ σχηματίζοντες τὴν φράσιν τῷ τε θηλυκῷ γένει τῆς προσηγορίας (6) τὸ θηλυκὸν ἂν ἔζευξαν (7) μετοχικὸν (8) καὶ [τὴν πτῶσιν τῆς μετοχῆς] τὴν αἰτιατικὴν ἂν ἀντὶ τῆς γενικῆς ἔταξαν τὸν τρόπον τόνδε· »Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν πρασσομένων ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθε-

---

(1) Vulgo ἐς, quod mutavi in εἰς.

(2) Thuc. VI, 24: τὸ μὲν ἐπιθυμοῦν τοῦ πλοῦ. Ib. I, 90 et VII, 48, τὸ βουλόμενον legi monet Kruegerus. Mox pro Θεσσαλῶν dedi Θετταλῶν.

(3) Cum cod. B. omisi haec: ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιόνδε τι (hanc voculam om. AM) »Ὥστ' εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῷ ἐπιχωρίῳ οἱ Θεσσαλοί."

(4) τῶν addidi ex L.

(5) σχηματίζει τῇ φράσει A, σχηματίζων τῇ φράσει LM.

(6) Thuc. VIII, 64 recte: τὴν ἀπὸ τ. A. ὕπουλον αὐτονομίαν. Operae pretium est videre, quam corrupti iam fuerint Dionysii aetate codd. Thucydidei. Simul autem mireris pravum nostri iudicium.

(7) Vocabula τῷ τε — προσηγορίας om. mei BC et ed. Stephani; in iisdem mox legitur: τό τε θηλυκόν.

(8) De coniectura dedi ἂν ἔζευξαν pro ἀντέζευξαν, quod non est unius assis. Deinde μετοχικόν pro μορίον reponendum esse iudicavi; de participio enim, non de particula aliqua sermonem esse vel caecus videt. Mox vero vocabula πτῶσιν τῆς μετοχῆς (mei libri τὴν πτῶσιν κτέ. habent ad unum omnes) ut scioli additamentum uncis sepienda curavi. Non enim participii sed substantivi εὐνομίαν casum intelligendum esse, non est quod multis ostendam. Praetera mox ante ἀντί repetivi particulam ἄν.

ρίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσασαι.” Εἰ (1) δὲ τἀρρενικὰ τοῖς θηλυκοῖς συνέταττον, ὥσπερ οὗτος πεποίηκε, τὰς γενικὰς ἀντὶ τῶν αἰτιατικῶν πτώσεων παραλαμβάνοντες (2), σολοικίζειν ἂν ὑφ' ἡμῶν λέγοιντο (3). Κἄτι τὰ τοιαῦτα· »Καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες.” Οὐ γὰρ ἐπὶ τῆς δοτικῆς πτώσεως ἐσχηματίσθαι τὴν λέξιν ἥρμοττεν, ἀλλ' ἐπὶ τῆς αἰτιατικῆς· »καὶ μὴ τὸ πλῆθος αὐτῶν (4) καταπλαγέντες.” Οὐδὲ γὰρ »τῇ [παρὰ] τῶν θεῶν ὀργῇ φοβεῖσθαι” λέγοιτ' ἄν τις, ἀλλὰ τὴν τῶν θεῶν ὀργήν.

CAPUT XII.

Ἡ δὲ παρὰ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις τοιαύτη τίς ἐστι· »Καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν (5) κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν κἂς αὐτ' ἐλθοῦσι μὴ ἀτολμοτέροις τῶν ἀεὶ μοχθούντων φαίνεσθαι.” Ἐνταῦθα γὰρ τὸ μὲν ἐθέλοιμεν ῥῆμα τοῦ μέλλοντός ἐστι χρόνου δηλωτικὸν, τὸ δὲ περιγίγνεται τοῦ παρόντος. Ἀκόλουθον δ' ἂν ἦν, εἰ συνέζευξε τῷ ἐθέλοιμεν τὸ περίεσται. (Κἄτι τὰ τοιαῦτα·) (6) »Τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ (7), μενόντων μὲν ἡμῶν, σύμμαχον γίγνεται, ὑπο-

(1) Vulgo *οἱ*. Steph. ed. et meus cod. M recte *εἰ*. In iisdem et in ACLR *ἀρρενικά* pro *ἀρσενικά*.

(2) *λαμβάνοντες* LR.

(3) Ita recte Steph. ed. et mei MR. Vulgo absurde: *παραλαμβάνοντες, σολοικίζειν— λέγοιτο καὶ ἔτι τ. τ.*

(4) Scripsi *αὐτῶν* pro *τῶν πολεμίων*, quod interpretandi studio natum emblema pronomen *αὐτῶν* expulisse videtur. Locus est Thuc. IV, 10. Mox suspectum habeo *παρά*.

(5) Recte viri docti iam Thucydidi reddiderunt *ἐθέλομεν* e cod. Vindobonensi. Contra a Dionysio Thucydides accipiat *ἀτολμοτέροις* pro *ἀτολμοτέρους*; qua de re iam monuit Blomfieldius in glossar. ad Aeschyli Ag. 241. Vocabula *περιγίγνεται — προκάμνειν* absunt a Stephani ed. et meis codd. BC. Reliqui habent; quare cancellis ea verba liberavi. Mox *περιγίγνεται* pro *περιγίνεται* recte quidam mei: qua de re non amplius monebo. Locus autem hic est Thuc. II, 39 extr., is qui sequitur IV, 10.

(6) De coniectura addidi inclusa. Possis quoque *καὶ αὖθις*, cf. cap. XIII.

(7) Plerique codd. Thucyd. omittunt pronomen ὅ, quo deleto, reliqua: *μενόντων — ἔσται* editores novissimi posuerunt in parenthesi, male omisso *μέν* post *μενόντων*, quod quantocyus e nostro revocandum.

χωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, εὔπορον ἔσται.” Τὸ μὲν γὰρ γίγνεται τοῦ παρόντος ἐστὶ, τὸ δ' ἔσται τοῦ μέλλοντος (1) χρόνου δηλωτικόν. Γέγονε δὲ καὶ παρὰ τὰς πτώσεις ὁ σχηματισμὸς ἀκατάλληλος. Ἐπὶ μὲν γὰρ τῆς γενικῆς πτώσεως ἐξενήνοχε τό τε μετοχικὸν ὄνομα, τὸ μενόντων, καὶ τὸ ἀντωνυμικὸν (2) τὸ ἡμῶν, ἐπὶ δὲ τῆς δοτικῆς τὸ ὑποχωρήσασιν. Οἰκειότερον δ' ἂν (3) ἦν καὶ τοῦτο κατὰ τὴν αὐτὴν ἐξενηνέχθαι πτῶσιν.

CAPUT XIII.

Ὅταν δὲ πρὸς τὸ σημαῖνον (4) ἀπὸ τοῦ σημαινομένου πράγματος τὴν ἀποστροφὴν ποιῆται, ἢ πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος, οὕτω σχηματίζει τὸν λόγον· »Τῶν δὲ Συρακοσίων (5) ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν.” Προθεὶς γὰρ ἑνικὸν ὄνομα, τὸν δῆμον, ἀπέστρεψεν (6) ἀπὸ τούτου τὸν λόγον ἐπὶ τὸ σημαινόμενον πρᾶγμα, πληθυντικὸν ὑπάρχον, τοὺς (7) Συρακοσίους. Καὶ αὖθις· »Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν, πολίτας τ' ἐπεγράψαντο πολλοὺς καὶ ὁ δῆμος ἐπενόει τὴν γῆν ἀναδάσασθαι.” Ἀπὸ γὰρ τοῦ πληθυντικοῦ ὀνόματος, τοῦ Λεοντῖνοι, ἀπέστρεψε τὸν λόγον ἐπὶ τὸ ἑνικὸν (8), τὸν δῆμον.

× × × × × × ×

(1) Male repetitur *ἐστι* in B.

(2) *τὸ ἀντονοματικόν* AR, *ἀντωνοματικόν* M, *τὸ ἀντωνυματικόν* Stephani ed. *Τό* om. quoque L.

(3) De meo inserui particulam conditionalem.

(4) *σημαινόμενον* M.

(5) Solus R servavit hic et mox veram lectionem. Reliqui, ut vulgo editur, *Συρακουσίων* et *Συρακουσίους*. Thuc. VI, 35 haec leguntur.

(6) *ἐπέστρεψεν*. Par. 1 et Colb. Huds.

(7) Steph. ed. et meus cod. C. *τό*. Rectissime autem scriberetur *τὸ Συρακοσίων* et paulo ante *τὸ δῆμος*, ut mox *τοῦ Λεοντῖνοι*; ad quam normam fortasse omnia huiusmodi fuissent emendanda. *Ξύμβασιν* e Thuc. ded. pro *σύμβασιν*.

(8) Additur in libris *ὄνομα*, quod omittendum esse duxi. Rectius deinde scriberetur *τὸ δῆμος*. Gravem autem h. l. Dionysii errorem merito tangit Kruegerus. Mox nonnulla periisse acute idem perspexit, quibus illustrata fuerint, quae rhetor supra proposuit cap. II, Thucydidem *ἐν τοῖς συνδετικοῖς καὶ τοῖς προθετικοῖς—ἐνεξουσιάζειν* et *πλεῖστ' ἂν τινα εὑρεῖν—λαμβάνοντα φαντασίαν*. Posui igitur signa lacunae.

CAPUT XIV.

Πρόσωπα δὲ παρ' αὐτῷ τὰ πράγματα γίγνεται, καθάπερ ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ γέγονεν. Ἀξιῶν γὰρ ὁ Κορίνθιος τοὺς προεστηκότας τῆς Πελοποννήσου φυλάττειν αὐτῆς τὸ ἀξίωμα πρὸς τὰς ἔξω πόλεις, οἷον παρὰ τῶν πατέρων παρέλαβον, ταῦτα (1) λέγει »Πρὸς τάδε βουλεύεσθ' εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω (2) ἐξηγεῖσθαι ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν." Τὸ γὰρ ἐξηγεῖσθαι νῦν τέθεικεν ἐπὶ τοῦ προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς. Τοῦτο δὲ τῇ χώρᾳ μὲν ἀδύνατον ἦν συμβῆναι, τῇ δὲ δόξῃ καὶ τοῖς πράγμασι τοῖς περὶ αὐτὴν ὑπάρχουσι δυνατόν· καὶ βούλεται τοῦτο δηλοῦν. Πράγματα δ' ἀντὶ σωμάτων τὰ τοιαῦθ' ὑπ' αὐτοῦ γίγνεται· λέγεται δ' ὑπὸ τοῦ Κορινθίων (3) πρεσβευτοῦ πρὸς Λακεδαιμονίους συγκρίνοντος τά τ' Ἀθηναίων καὶ Λακεδαιμονίων· »Οἱ μέν γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ (4), ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι." Μέχρι μὲν οὖν (5) τούτων τὸ σχῆμα τῆς λέξεως σώζει τὴν ἀκολουθίαν, ὡς ἐπὶ προσώπων ἀμφοτέρων κείμενον· ἔπειτα δ' (6) ἀποστρέφεται κατὰ θάτερον τῶν μερῶν ὁ λόγος, κἀντὶ τῶν σωμάτων πρᾶγμα γίγνεται τὰ (7) περὶ τοὺς Λακεδαιμονίους, ὅταν φῇ· »Αὖθις δ' οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ κἀν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δ' ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ (8) δεινῶν μηδέποτ' οἴεσθαι ἀπο-

(1) τοῦτο M. Locus est Thuc. I, 71.

(2) Ita dedi e Thucyd. l.l. Codd. mei ALMR. ἔλασσον; reliqui ἔλαττον, ut vulgo scribitur. Minus recte ἐλάττονα Dionysius scripsisse videtur Kruegero. Solet enim servare Thucydidis orthographiam. Mox post πατέρες M. omisit pron. ὑμῖν.

(3) Ita mei ABLR. Vulgo Κορινθίου.

(4) Om. ἔργῳ M. Thuc. I, 70, sine varietate.

(5) οὖν om. M.

(6) De meo inserui particulam adversativam.

(7) De coniectura inserui articulam, quem absorpserat cauda vocabuli praecedentis.

(8) Thuc. l.l. τε. Noster cap. XVII, § 2 δέ, ut hic. In ALMR vocabula: τῶν δὲ—ἀπολυθήσεσθαι desiderantur. Et sane fieri potest, ut postmodo a librariis suppleta sint e Thucydide.

λυθήσεσθαι." Τὸ γὰρ ὑμέτερον ἀντὶ τοῦ ὑμεῖς παρείληπται, πρᾶγμα ὑπάρχον ἀντὶ σώματος (1).

CAPUT XV.

Ἐν δὲ τοῖς ἐνθυμήμασί τε καὶ νοήμασιν αἱ μεταξὺ παρεμπτώσεις, πολλαὶ γιγνόμεναι καὶ μόλις ἐπὶ τὸ τέλος ἀφικνούμεναι, δι' ἃς ἡ φράσις δυσπαρακολούθητος γίγνεται, πλεῖσται μέν εἰσι καθ' ὅλην τὴν ἱστορίαν, ἀρκέσουσι δ' ἐκ τοῦ προοιμίου δύο ληφθεῖσαι μόναι· ἥ τε δηλοῦσα τὴν ἀσθένειαν τῶν ἀρχαίων τῆς Ἑλλάδος πραγμάτων καὶ τὰς αἰτίας ἀποδιδοῦσα — »Τῆς (2) γὰρ ἐμπορίας οὐκ οὔσης οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν (3) οὔτε διὰ θαλάσσης, νεμόμενοί τε (4) τὰ αὐτῶν ἕκαστοι, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες οὔτε γῆν φυτεύοντες, ἄδηλον ὄν, ὁπότε (5) τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμ' (6) ὄντων, ἄλλος ἀφαιρήσεται, τῆς τε καθ' ἡμέραν (7) ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν (8), οὐ χαλεπῶς ἀπανίσταντο." (9). Τὸ γὰρ οὐ χαλεπῶς ἀπανίσταντο (10) προστεθὲν τῇ πρώτῃ περιόδῳ καὶ σχηματισθὲν οὕτω· »Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις οὔτε κατὰ γῆν οὔτε διὰ θαλάσσης (11), νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν, οὐ χαλεπῶς ἀπανίσταντο" φανερωτέραν ἂν ἐποίει τὴν διάνοιαν, ἣν ἡ παρεμ-

(1) Vulgo τοῦ σώματος. Articulum delevi cum BMR. Praeterea M habet ὀνόματος et ita L. Mox cap. XV init. suspecta habeo vocabula τε καὶ νοήμασιν.

(2) μέν inserunt LM.

(3) οὔτε—γῆν om. C. οὔτε—θαλάσσης om. L.

(4) δέ L.

(5) πότε M.

(6) ἅμα ἀτειχίστων ABCMR.

(7) καθ' ἡμέραν omittunt ABCMR.

(8) πανταχοῦ ἂν ὁμοίως ὡς ἐπικρατήσειν οἰόμενοι AM, et omisso ὡς, BC.

(9) Thuc. I, c. 2. ἀνίσταντο omnes mei praeter L.

(10) Inserui τὸ — ἀπανίσταντο ex palmaria Reiskii emendatione, insuper requirens: περιόδῳ σχηματισθείσῃ οὕτω. Habet autem προστεθὲν γὰρ κτέ. B, unde possis: προστεθὲν γὰρ τὸ οὐ χαλεπῶς-ἀπανίσταντο τῇ κτέ.

(11) Vocabula οὔτε—θαλάσσης inserui e cod. B. Eadem iam de coniectura adiecerat Kruegerus. Vocabula: προστεθὲν—ἀπανίσταντο plane neglexit L. In ἀνίσταντο iterum conspirant omnes mei praeter L.

βολὴ (1) τῶν μεταξὺ πραγμάτων, πολλῶν ὄντων, ἀσαφῆ καὶ δυσπαρακολούϑητον πεποίηκεν — καὶ ἡ περὶ τῆς Εὐρυσϑέως στρατείας ἐπὶ τὴν Ἀττικὴν ἧδε· (2) »Εὐρυσϑέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ τῶν Ἡρακλειδῶν ἀποϑανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ καὶ ἐπιτρέψαντος Εὐρυσϑέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν κατὰ τὸ οἰκεῖον Ἀτρεῖ· τυγχάνειν δ' αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου ϑάνατον· καὶ ὡς (3) οὐκέτ' ἀνεχώρησεν Εὐρυσϑεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν καὶ ἅμα δυνατὸν δοκοῦντ' εἶναι καὶ τὸ πλῆϑος τεϑεραπευκότα, τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσϑεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν". (4)

CAPUT XVI.

Ἐν οἷς δὲ (5) σκολιὰ καὶ πολύπλοκος καὶ δυσεξέλικτος ἡ τῶν ἐνϑυμημάτων κατασκευὴ γίγνεται, τοῦτον τὸν τρόπον ἔχει (6) παρ' αὐτῷ. Κεῖται δ' ἐν τῷ ἐπιταφίῳ ἡ λέξις (7)· »Τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποϑεινοτέραν αὐτῶν λαβόντες καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες ἐβουλήϑησαν (8) τοὺς μὲν τιμωρεῖσϑαι, τῶν δ' ἀφίεσϑαι, ἐλπίδι μὲν τἀφανὲς τοῦ κατορϑώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρω-

(1) Ita rescripsi de coniectura pro *διάνοιαν*. *Τῇ δὲ παρεμβολῇ*. Reiskius: *διάνοιαν*. *Ἡ δὲ παρεμβολή*: sed ita inserendum praeterea foret *αὐτήν* ante *πεποίηκεν*. Mox pro *στρατιᾶς* cum Stephano reposui *στρατείας*, quod non usitatius, ut videbatur Sylburgio, sed eo sensu, qui hic requiritur, solum Graecum. *Στρατίας* est in R. Mox malim: *τῆς ἐπὶ τὴν Ἀττικήν*.

(2) Duriuscule substantivum *παρέμπτωσις* omissum videtur. Arcte autem hanc periodum iunge cum voc.: *ἥ τε δηλοῦσα — ἀποδιδοῦσα* initio capitis, quae verba nimis longa parenthesi ab illis divulsa sunt. Quod quo melius appareret, mutavi distinguendi rationem. Mox post *Εὐρυσϑέως* vocula *μέν* negligitur in ABC.

(3) *ὡς* om. M.

(4) Thuc. I, 9. Iure huius periodi inconcinnitatem carpere mihi videtur, qui in longe plerisque fallitur, criticus Halicarnassensis.

(5) Om. B voc.: *ἐν οἷς δέ*.

(6) Om. B *ἔχει*.

(7) Vocabula *κεῖται — λέξις* ob locum minus aptum, quo interponuntur, an ab ipso Dionysio addita sint, subdubito.

(8) Thuc. II, 52 recte inseruntur ante *τούς* vocabula *μετ' αὐτοῦ*. Mox recepi certam Popponis emendationem *ἀφίεσϑαι*; quam frustra impugnat Kruegerus. Cod. Paris. 2 exhibere dicitur *ὑφίεσϑαι*. Mox *τιμωρήσασϑαι* C, sed in mg. γρ. *τιμωρεῖσϑαι*.

μένου σφίσιν (1) αὐτοῖς ἀξιοῦντες πεποιϑέναι, ἐν τῷ ἀμύνεσϑαι (2) παϑεῖν μᾶλλον ἡγησάμενοι ἢ τῷ (3) ἐνδόντες σώζεσϑαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν καὶ δι' ἐλάχιστα καιροῦ τύχης ἅμ' ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν." Τοιαῦτ' ἐστι καὶ τὰ περὶ Θεμιστοκλέους εἰρημένα ὑπὸ τοῦ συγγραφέως (4) ἐν τῇ πρώτῃ βίβλῳ· »Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι (5) ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος ϑαυμάσαι. Οἰκείᾳ γὰρ ξυνέσει καὶ οὔτε προμαϑὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαϑὼν τῶν τε παραχρῆμα δι' ἐλαχίστης (6) βουλῆς κράτιστος γνώμων (7) καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι καὶ ἐξηγήσασϑαι οἷός τε, ὧν δ' ἄπειρος εἴη, κρῖναι (8) ἱκανῶς οὐκ ἀπήλλακτο. Τό τ' ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα, καὶ, τὸ (9) ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι κράτιστος δὴ (10) οὗτος αὐτοσχεδιάζειν τὰ δέοντ' ἐγένετο."

CAPUT XVII.

Οἱ δὲ μειρακιώδεις σχηματισμοὶ τῶν ἀντιϑέτων τε καὶ παρομοιώσεων καὶ παρισώσεων (11), ἐν οἷς οἱ περὶ τὸν Γοργίαν μάλιστ' ἐπλεόνασαν, ἥκιστα τῷ χαρακτῆρι τούτου (12) προσή-

(1) *φησίν* noto errore LMR.

(2) *ἀμύνασϑαι* L.

(3) *τῷ* om. CLMR.

(4) Verba *ὑπὸ τοῦ συγγραφέως* ex Paris. I addidit Kruegerus. Eadem leguntur in ALMR. A reliquis meis absunt; fortasse haud iniuria. Qui sequitur Thucydidis locus legitur cap. 138.

(5) *τις* M.

(6) An *διὰ ταχίστης*?

(7) *γνώμην* M.

(8) *ἄπειρος ἐπικρῖναι* CLMR, et teste Hudsono Reg. I, 2 et Colb., unde legitur in Stephani editione.

(9) Om. articulum LM.

(10) Recte codd. LM pro vulgato *δέ*. Idem e Thucydide correxerat Kruegerus.

(11) De coniectura reposui *παρομοιώσεων* pro *παρομοίων* propter sequens *παρισώσεων*.

(12) Cod. A. Reliqui *τούτῳ*, ut vulgo editur.

κοντες (1), αὐστηρὰν ἔχοντι τὴν ἀγωγὴν καὶ τοῦ κομψοῦ πλεῖστον (2) ἀφεστηκότι, τοιοῦτοί τινές εἰσι παρὰ τῷ συγγραφεῖ· »Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη (3) οὐ πάλαι βεβαίως οἰκουμένη.” Κἄτι δέ (4)· »Οἱ μὲν καὶ παρὰ γνώμην κινδυνευταὶ κἀν τοῖς δεινοῖς εὐέλπιδες· (5) τὸ δ᾽ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτ᾽ οἴεσθαι ἀπολυθήσεσθαι.” (6) Κἀν οἷς τὰς καταλαβούσας τὴν Ἑλλάδα συμφορὰς διὰ τὰς στάσεις ἐπεξέρχεται, τοιάδε γράφων· »Τόλμα μὲν (7) γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής· τὸ δὲ σῶφρον πρόσχημα τοῦ ἀνάνδρου· καὶ τὸ εἰς ἅπαν (8) ξυνετὸν ἐπίπαν ἀργόν.” Πολλὰ τοιαῦτά τις ἂν εὕροι δι᾽ ὅλης αὐτοῦ (9) τῆς ἱστορίας λεγόμενα. Ἱκανὰ (10) δὲ καὶ ταῦτα δείγματος ἕνεκα εἰρῆσθαι. Ἔχεις, ὦ φίλ᾽ Ἀμμαῖε, τὰ παρατηρήματα καθ᾽ ἕκαστον αὐτῶν ἐκ τῆς κοινῆς (11) ἐξητασμένα πραγματείας, ὡς ἐπεζήτεις (12).

---

(1) Om. προσήκοντες, relicto spatio, R.
(2) πλεῖον M.
(3) Inverso ordine καλουμένη Ἑλλάς, minus Graece, ALM.
(4) δέ om. R.
(5) κἀν — εὐέλπιδες om. ALMR.
(6) Cf. Cap. 14, 5.
(7) Om. C μέν.
(8) Ita ALMR. Reliqui mei, ut vulgo editur, εἰσάπαξ συνετόν. Thuc. (III, 82) πρὸς ἅπαν fortasse etiam rectius. Aperta est causa erroris.
(9) αὐτοῦ om. C.
(10) Ita Reg. I, 2 et Colb., unde Kruegerus correxit vulgatum ἱκανόν. Mei quoque omnes, excepto C, habent ἱκανά.
(11) Cf. cap. I, § 2: ὃ οἱ τὰς τέχνας καὶ τὰς εἰσαγωγὰς τῶν λόγων πραγματευόμενοι ποιοῦσιν.
(12) Omisi cum ABLMR, quae vulgo a fine adscribuntur vocabula: εὐτυχῶς Ἀμμαίῳ.

ERRATA ET MONENDA.

Pag.	VII,	vs.	3	Pro *Italianos* lege *Italicos*.
»	»	»	6	» *libri* » *libros*.
»	4	adn.	6	Recipere debueram Τιμοκράτη ex Amb.
»	5	»	1	Perdiderunt hanc adnotatiunculam operarum negligentia et uncialium literarum inopia. Vix tamen quemquam fallet, quid voluerim.
»	»	»	22	Pro ἀπογονοῦ lege ἀπογόνου.
»	»	adn.	10	Adde »quod reponas.”
»	»	vs.	14	Pro ὥσπερ lege ὥσπερ. Simile vitium hic illic irrepsit.
»	9	adn.	1	Adde »vel σὺν αὐτῷ.”
»	11	vs.	24	Pro νησιατῶν lege νησιωτῶν.
»	12	»	12	» των » τῶν.
»	16	»	9	» προῆγον » προσῆγον et dele adnotationem huc pertinentem usque ad voc.: Mox addidi cet., rescripto in fine προσῆγον.
»	17	vs.	8	Dele virgulam post Φίλιππον.
»	20	»	9	Fortasse aliquis malit: Εἰ γάρ τις ἄλλος, κἀγὼ ἐκπλ.
»	»	»	19	Punctum pone post πόλεμος.
»	18	»	17	Pro ὑπάρξει] lege]ὑπάρξει.
»	19	»	19	» Ἔγὼ » Ἐγὼ.
»	»	»	24	» λογοὺς » λόγους.
»	24	vs.	2	Dele virgulam post Πρωταγόραν.

Pag.	25	vs.	6	Pro φθόνον lege φθόνου.
»	26	»	12	Post γίγνεται pone punctum.
»	29	»	13	Pro ἐπωμυμίαν lege ἐπωνυμίαν.
»	33	adn.	9	» desiderare » desiderari.
»	35	vs.	3,4	» συ-νειδώς » συν-ειδώς. Similis error aliquoties recurrit.
»	37	»	1	Praestat Sylburgii correctio.
»	»	»	17	Pro δεόντος lege δέοντος.
»	»	adn.	6	» πάσαν » πᾶσαν.
»	41	vs.	7	Fortasse χεῖρον retineri potest.
»	42	adn.	4	vs. 5 Pro *dignitate* lege *dignitati*. Ibid. vs. 9. l. ἐστὶ.
»	43	vs.	9	Pro εὶν lege εἰς.
»	45	»	13	» τοὶς » τοῖς.
»	60	adn.	7	Sine causa idonea ista suspectavi.
»	»	»	8	Pro Thuc. II, 52 lege Thuc. II, 42. Ibi mox scribitur: καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι ἢ τῷ ἐνδόντες κτέ. Locus est valde intricatus nec fortasse ab omni parte sanus.
»	61	vs.	6	Pro ἐστι lege ἐστὶ.

Reliqua typographica vitia, si qua praeterea huic libello insunt, corrigat ipse lector.